were-named Pleuron indeed then having-married Xanthippe the
Δώρου παῖδα ἐγέννησεν Ἀγήνορα, θυγατέρας δὲ Στερόπην
of-Dorus daughter begot Agenor daughters and Sterope
καὶ Στρατονίκην καὶ Λαοφόντην· Καλυδῶνος δὲ καὶ Αἰολίας
and Stratonice and Laophonte of-Calydon and and of-Aeolia
τῆς Ἀμυθάονος Ἐπικάστη καὶ Πρωτογένεια, ἐξ ἧς
the daughter-of-Amythaon Epicaste and Protogenia from whom

καὶ Ἄρεος Ὄξυλος. Ἀγήνωρ δὲ ὁ Πλευρῶνος γήμας
and Ares Oxylus Agenor and the son-of-Pleuron having-married
Ἐπικάστην τὴν Καλυδῶνος ἐγέννησε Πορθάονα καὶ
Epicaste the daughter-of-Calydon begot Porthaon and
Δημονίκην, ἧς καὶ Ἄρεος Εὔηνος Μῶλος Πύλος Θέστιος.
Demonice of-whom and Ares Evenus Molus Pylus Thestius
8 Εὔηνος μὲν οὖν ἐγέννησε Μάρπησσαν, ἣν Ἀπόλλωνος
Evenus indeed then begot Marpessa whom Apollo
μνηστευομένου Ἴδας ὁ Ἀφαρέως ἥρπασε, λαβὼν παρὰ
wooing Idas the son-of-Aphareus snatched having-got from
Ποσειδῶνος ἅρμα ὑπόπτερον. διώκων δὲ Εὔηνος ἐφ᾽
Poseidon a-chariot winged pursuing and Evenus on
ἅρματος ἐπὶ τὸν Λυκόρμαν ἦλθε ποταμόν, καταλαβεῖν δ᾽ οὐ
chariot to the Lycormas came river to-overtake but not
δυνάμενος τοὺς μὲν ἵππους ἀπέσφαξεν, ἑαυτὸν δ᾽ εἰς τὸν
being-able the indeed horses he-slaughtered himself and into the
ποταμὸν ἔβαλε· καὶ καλεῖται Εὔηνος ὁ ποταμὸς ἀπ᾽ ἐκείνου.
river threw and is-called Evenus the river after him
9 Ἴδας δὲ εἰς Μεσσήνην παραγίνεται, καὶ αὐτῷ ὁ
Idas and to Messene comes and from-him —
Ἀπόλλων περιτυχὼν ἀφαιρεῖται τὴν κόρην. μαχομένων
Apollo having-met takes-away the girl fighting
δὲ αὐτῶν περὶ τῶν τῆς παιδὸς γάμων, Ζεὺς διαλύσας
and them about the of-the girl marriage Zeus having-parted
ἐπέτρεψεν αὐτῇ τῇ παρθένῳ ἑλέσθαι ὁποτέρῳ βούλεται
allowed to-the very maiden to-choose whichever she-wishes
συνοικεῖν· ἡ δὲ δείσασα, ὡς ἂν μὴ γηρῶσαν αὐτὴν
to-live-with she and having-feared so-that — not growing-old her
Ἀπόλλων καταλίπῃ, τὸν Ἴδαν εἵλετο ἄνδρα.
Apollo should-forsake — Idas chose as-husband

Θεστίῳ δὲ ἐξ Εὐρυθέμιδος τῆς Κλεοβοίας ἐγένοντο 10
to-Thestius and by Eurythemis the daughter-of-Cleoboea were-born
θυγατέρες μὲν Ἀλθαία Λήδα Ὑπερμνήστρα, ἄρρενες δὲ
daughters indeed Althaea Leda Hypermnestra males and
Ἴφικλος Εὔιππος Πλήξιππος Εὐρύπυλος.
Iphiclus Evippus Plexippus Eurypylus
Πορθάονος δὲ καὶ Εὐρύτης τῆς Ἱπποδάμαντος ἐγένοντο
of-Porthaon and and of-Euryte the daughter-of-Hippodamas were-born
παῖδες Οἰνεὺς Ἄγριος Ἀλκάθοος Μέλας Λευκωπεύς,
sons Oeneus Agrius Alcathous Melas Leucopeus
θυγάτηρ δὲ Στερόπη, ἐξ ἧς καὶ Ἀχελῴου Σειρῆνας
daughter and Sterope from whom and Achelous Sirens
γενέσθαι λέγουσιν.
to-be-born they-say

I.8 · MELEAGER AND THE CALYDONIAN BOAR

Oeneus, king of Calydon, has Deianira and Meleager by Althaea. When Meleager is seven days old the Fates say he will die when the brand on the hearth burns out, and Althaea hides it in a chest. Oeneus forgets Artemis at his sacrifice of first fruits, and she sends a boar; Meleager gathers the best men of Greece, with Atalanta among them, and kills it, but when he gives her the skin his mother's brothers take it from her and he kills them, and Althaea burns the brand. In another version the Curetes and Calydonians fight over the skin, and Meleager, cursed by his mother, sulks until his wife persuades him to fight and he falls. By Periboea Oeneus begets Tydeus, who is exiled to Argos and dies at Thebes.

Οἰνεὺς δὲ βασιλεύων Καλυδῶνος παρὰ Διονύσου 1
Oeneus and reigning over-Calydon from Dionysus
φυτὸν ἀμπέλου πρῶτος ἔλαβε. γήμας δὲ Ἀλθαίαν
plant of-vine first received having-married and Althaea
τὴν Θεστίου γεννᾷ Τοξέα, ὃν αὐτὸς ἔκτεινεν
the daughter-of-Thestius he-begets Toxeus whom himself he-killed

ὑπερπηδήσαντα τὴν τάφρον, καὶ παρὰ τοῦτον Θυρέα καὶ
having-leapt-over the ditch and besides this Thyreus and
Κλύμενον, καὶ θυγατέρα Γόργην, ἣν Ἀνδραίμων ἔγημε, καὶ
Clymenus and a-daughter Gorge whom Andraemon married and
Δηιάνειραν, ἣν Ἀλθαίαν λέγουσιν ἐκ Διονύσου γεννῆσαι.
Deianira whom Althaea they-say by Dionysus to-have-borne
αὕτη δ' ἡνιόχει καὶ τὰ κατὰ πόλεμον ἤσκει, καὶ περὶ
she and drove-chariots and the-things of war practiced and for
τῶν γάμων αὐτῆς Ἡρακλῆς πρὸς Ἀχελῷον ἐπάλαισεν.
the marriage her Heracles with Achelous wrestled
2 ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως Μελέαγρον, ὃν
bore and Althaea a-son by Oeneus Meleager whom
ἐξ Ἄρεος γεγεννῆσθαί φασι. τούτου δ' ὄντος ἡμερῶν
by Ares to-have-been-begotten they-say him and being of-days
ἑπτὰ παραγενομένας τὰς μοίρας φασὶν εἰπεῖν, ὅτι
seven having-come the Fates they-say to-have-said that
τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιόμενος ἐπὶ τῆς
then will-die Meleager when the burning on the
ἐσχάρας δαλὸς κατακαῇ. τοῦτο ἀκούσασα τὸν δαλὸν
hearth brand be-burnt-up this having-heard the brand
ἀνείλετο Ἀλθαία καὶ κατέθετο εἰς λάρνακα. Μελέαγρος δὲ
took-up Althaea and laid-away into a-chest Meleager and
ἀνὴρ ἄτρωτος καὶ γενναῖος γενόμενος τόνδε τὸν τρόπον
man invulnerable and noble having-become this the way
ἐτελεύτησεν. ἐτησίων καρπῶν ἐν τῇ χώρᾳ γενομένων
died yearly fruits in the land having-come
τὰς ἀπαρχὰς Οἰνεὺς θεοῖς πᾶσι θύων μόνης Ἀρτέμιδος
the first-fruits Oeneus to-gods all sacrificing alone Artemis
ἐξελάθετο. ἡ δὲ μηνίσασα κάπρον ἐφῆκεν ἔξοχον
forgot she and having-been-angered a-boar sent-against outstanding
μεγέθει τε καὶ ῥώμῃ, ὃς τήν τε γῆν ἄσπορον ἐτίθει καὶ
in-size both and in-strength which the both land unsown made and

τὰ βοσκήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειρεν. ἐπὶ
the cattle and the-ones meeting-it destroyed against
τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας
this the boar the best from — Greece all
συνεκάλεσε, καὶ τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν
he-called-together and to-the-one having-killed the beast the skin
δώσειν ἀριστεῖον ἐπηγγείλατο. οἱ δὲ συνελθόντες
to-be-going-to-give as-prize proclaimed the-ones and having-come-together
ἐπὶ τὴν τοῦ κάπρου θήραν ἦσαν οἵδε· Μελέαγρος Οἰνέως,
for the of-the boar hunt were these Meleager son-of-Oeneus
Δρύας Ἄρεος, ἐκ Καλυδῶνος οὗτοι, Ἴδας καὶ Λυγκεὺς
Dryas son-of-Ares from Calydon these Idas and Lynceus
Ἀφαρέως ἐκ Μεσσήνης, Κάστωρ καὶ Πολυδεύκης Διὸς
sons-of-Aphareus from Messene Castor and Polydeuces sons-of-Zeus
καὶ Λήδας ἐκ Λακεδαίμονος, Θησεὺς Αἰγέως ἐξ Ἀθηνῶν,
and of-Leda from Lacedaemon Theseus son-of-Aegeus from Athens
Ἄδμητος Φέρητος ἐκ Φερῶν, Ἀγκαῖος καὶ Κηφεὺς
Admetus son-of-Pheres from Pherae Ancaeus and Cepheus
Λυκούργου ἐξ Ἀρκαδίας, Ἰάσων Αἴσονος ἐξ Ἰωλκοῦ,
sons-of-Lycurgus from Arcadia Jason son-of-Aeson from Iolcus
Ἰφικλῆς Ἀμφιτρύωνος ἐκ Θηβῶν, Πειρίθους Ἰξίονος ἐκ
Iphicles son-of-Amphitryon from Thebes Pirithous son-of-Ixion from
Λαρίσης, Πηλεὺς Αἰακοῦ ἐκ Φθίας, Τελαμὼν Αἰακοῦ
Larissa Peleus son-of-Aeacus from Phthia Telamon son-of-Aeacus
ἐκ Σαλαμῖνος, Εὐρυτίων Ἄκτορος ἐκ Φθίας, Ἀταλάντη
from Salamis Eurytion son-of-Actor from Phthia Atalanta
Σχοινέως ἐξ Ἀρκαδίας, Ἀμφιάραος Οἰκλέους ἐξ
daughter-of-Schoeneus from Arcadia Amphiaraus son-of-Oicles from
Ἄργους· μετὰ τούτων καὶ οἱ Θεστίου παῖδες. συνελθόντας
Argos with these also the of-Thestius sons having-come-together
δὲ αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας ἐξένισε· τῇ δεκάτῃ δὲ
and them Oeneus for nine days entertained on-the tenth and

Κηφέως καὶ Ἀγκαίου καί τινων ἄλλων ἀπαξιούντων μετὰ
Cepheus and Ancaeus and some others disdaining with
γυναικὸς ἐπὶ τὴν θήραν ἐξιέναι, Μελέαγρος ἔχων γυναῖκα
a-woman to the hunt to-go-out Meleager having wife
Κλεοπάτραν τὴν Ἴδα καὶ Μαρπήσσης θυγατέρα, βουλόμενος
Cleopatra the of-Idas and of-Marpessa daughter wishing
δὲ καὶ ἐξ Ἀταλάντης τεκνοποιήσασθαι, συνηνάγκασεν
and also by Atalanta to-beget-children compelled
αὐτοὺς ἐπὶ τὴν θήραν μετὰ ταύτης ἐξιέναι. περιστάντων δὲ
them to the hunt with her to-go-out having-surrounded and
αὐτῶν τὸν κάπρον, Ὑλεὺς μὲν καὶ Ἀγκαῖος ὑπὸ τοῦ θηρὸς
they the boar Hyleus indeed and Ancaeus by the beast
διεφθάρησαν, Εὐρυτίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισε. τὸν
were-destroyed Eurytion and Peleus unwilling hit-with-a-javelin the
δὲ κάπρον πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε,
and boar first indeed Atalanta in the back shot
δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν· Μελέαγρος δὲ
second and Amphiaraus in the eye Meleager and
αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ
it in the flank having-struck killed and having-taken the
δέρας ἔδωκεν Ἀταλάντῃ. οἱ δὲ Θεστίου παῖδες, ἀδοξοῦντες
skin gave to-Atalanta the and of-Thestius sons disdaining
εἰ παρόντων ἀνδρῶν γυνὴ τὰ ἀριστεῖα λήψεται, τὸ
if being-present men a-woman the prizes shall-take the
δέρας αὐτῆς ἀφείλοντο, κατὰ γένος αὐτοῖς προσήκειν
skin from-her took-away by kin to-themselves to-belong
λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο.
saying if Meleager to-take not should-choose
3 ὀργισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας
having-been-angered and Meleager the indeed of-Thestius sons
ἀπέκτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ
killed the and skin gave — to-Atalanta Althaea and

λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν ἥψε,
grieved at the of-the brothers destruction the brand kindled
καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν.
and — Meleager suddenly died
οἱ δέ φασιν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι,
some but say not so Meleager to-have-died
ἀμφισβητούντων δὲ τῆς δορᾶς τῶν Θεστίου παίδων ὡς
disputing and the skin the of-Thestius sons since
Ἰφίκλου πρώτου βαλόντος, Κούρησι καὶ Καλυδωνίοις
Iphiclus first having-bit to-Curetes and to-Calydonians
πόλεμον ἐνστῆναι, ἐξελθόντος δὲ Μελεάγρου καί τινας
war to-have-arisen having-gone-out and Meleager and some
τῶν Θεστίου παίδων φονεύσαντος Ἀλθαίαν ἀράσασθαι
of-the of-Thestius sons having-slain Althaea to-have-cursed
κατ᾽ αὐτοῦ· τὸν δὲ ὀργιζόμενον οἴκοι μένειν. ἤδη δὲ τῶν
against him him and being-angry at-home to-stay already and the
πολεμίων τοῖς τείχεσι προσπελαζόντων καὶ τῶν πολιτῶν
enemies to-the walls approaching and the citizens
ἀξιούντων μεθ᾽ ἱκετηρίας βοηθεῖν, μόλις πεισθέντα ὑπὸ τῆς
asking with suppliant-branch to-help hardly persuaded by the
γυναικὸς ἐξελθεῖν, καὶ τοὺς λοιποὺς κτείναντα τῶν Θεστίου
wife to-go-out and the remaining having-killed of-the of-Thestius
παίδων ἀποθανεῖν μαχόμενον. μετὰ δὲ τὸν Μελεάγρου
sons to-have-died fighting after and the of-Meleager
θάνατον Ἀλθαία καὶ Κλεοπάτρα ἑαυτὰς ἀνήρτησαν, αἱ
death Althaea and Cleopatra themselves hanged the
δὲ θρηνοῦσαι τὸν νεκρὸν γυναῖκες ἀπωρνεώθησαν.
and lamenting the corpse women were-turned-into-birds
Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν 4
Althaea and having-died married Oeneus Periboea the
Ἱππονόου. ταύτην δὲ ὁ μὲν γράψας τὴν
daughter-of-Hipponous her and the-one indeed having-written the

Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα
Thebaid having-been-warred-upon Olenus says to-have-received Oeneus
γέρας, Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην
as-a-prize Hesiod but from Olenus — of-Achaea seduced
ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν
by Hippostratus the son-of-Amarynceus Hipponous the
πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα,
father to-have-sent to Oeneus far — from-Greece being
ἐντειλάμενον ἀποκτεῖναι.
having-enjoined to-kill
εἰσὶ δὲ οἱ λέγοντες Ἱππόνουν ἐπιγνόντα τὴν ἰδίαν
there-are and the-ones saying Hipponous having-discovered the own
θυγατέρα ἐφθαρμένην ὑπὸ Οἰνέως, ἔγκυον αὐτὴν πρὸς
daughter seduced by Oeneus pregnant her to
τοῦτον ἀποπέμψαι. ἐγεννήθη δὲ ἐκ ταύτης Οἰνεῖ Τυδεύς.
him to-have-sent-away was-born and from her to-Oeneus Tydeus
Πείσανδρος δὲ αὐτὸν ἐκ Γόργης γενέσθαι λέγει· τῆς γὰρ
Pisander but him from Gorge to-have-been-born says the for
θυγατρὸς Οἰνέα κατὰ τὴν βούλησιν Διὸς ἐρασθῆναι.
daughter Oeneus according-to the will of-Zeus to-have-fallen-in-love
Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύθη, κτείνας,
Tydeus and man having-become noble was-exiled having-killed
ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον, ὡς δὲ
as indeed some say brother of-Oeneus Alcathous as but
ὁ τὴν Ἀλκμαιωνίδα γεγραφώς, τοὺς Μέλανος παῖδας
the-one the Alcmaeonid having-written the of-Melas sons
ἐπιβουλεύοντας Οἰνεῖ, Φηνέα Εὐρύαλον Ὑπέρλαον
plotting against-Oeneus Pheneus Euryalus Hyperlaus
Ἀντίοχον Εὐμήδην Στέρνοπα Ξάνθιππον Σθενέλαον, ὡς
Antiochus Eumedes Sternops Xanthippus Sthenelaus as
δὲ Φερεκύδης φησίν, Ὠλενίαν ἀδελφὸν ἴδιον. Ἀγρίου δὲ
but Pherecydes says Olenias brother own Agrius and

δίκας ἐπάγοντος αὐτῷ φυγὼν εἰς Ἄργος ἦκε πρὸς
lawsuits bringing against-him having-fled to Argos came to
Ἄδραστον, καὶ τὴν τούτου γήμας θυγατέρα Δηιπύλην
Adrastus and the his having-married daughter Deipyle
ἐγέννησε Διομήδην.
begot Diomedes
Τυδεὺς μὲν οὖν ἐπὶ Θήβας μετ᾽ Ἀδράστου στρατευσάμενος
Tydeus indeed then against Thebes with Adrastus having-marched
ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν·
by Melanippus wounded died
οἱ δὲ Ἀγρίου παῖδες, Θερσίτης Ὀγχηστὸς Πρόθοος 6
the and of-Agrius sons Thersites Onchestus Prothous
Κελεύτωρ Λυκωπεὺς Μελάνιππος, ἀφελόμενοι τὴν Οἰνέως
Celeutor Lycopeus Melanippus having-taken-away the of-Oeneus
βασιλείαν τῷ πατρὶ ἔδοσαν, καὶ προσέτι ζῶντα τὸν Οἰνέα
kingdom to-the father gave and besides living — Oeneus
καθείρξαντες ᾐκίζοντο. ὕστερον δὲ Διομήδης ἐξ Ἄργους
having-shut-up tormented later and Diomedes from Argos
παραγενόμενος μετ᾽ Ἀλκμαίωνος κρύφα τοὺς μὲν Ἀγρίου
having-come with Alcmaeon secretly the indeed of-Agrius
παῖδας, χωρὶς Ὀγχηστοῦ καὶ Θερσίτου, πάντας ἀπέκτεινεν
sons except Onchestus and Thersites all killed
(οὗτοι γὰρ φθάσαντες εἰς Πελοπόννησον ἔφυγον), τὴν δὲ
these for having-anticipated to Peloponnese fled the and
βασιλείαν, ἐπειδὴ γηραιὸς ἦν ὁ Οἰνεύς, Ἀνδραίμονι τῷ
kingdom since aged was — Oeneus to-Andraemon the-one
τὴν θυγατέρα τοῦ Οἰνέως γήμαντι δέδωκε, τὸν δὲ Οἰνέα
the daughter — of-Oeneus having-married he-gave the and Oeneus
εἰς Πελοπόννησον ἦγεν. οἱ δὲ διαφυγόντες Ἀγρίου παῖδες
to Peloponnese he-led the and having-escaped of-Agrius sons
ἐνεδρεύσαντες περὶ τὴν Τηλέφου ἑστίαν τῆς Ἀρκαδίας τὸν
having-lain-in-wait about the of-Telephus hearth — of-Arcadia the

πρεσβύτην ἀπέκτειναν. Διομήδης δὲ τὸν νεκρὸν εἰς Ἄργος
old-man killed Diomedes and the corpse to Argos
κομίσας ἔθαψεν ἔνθα νῦν πόλις ἀπ᾽ ἐκείνου Οἰνόη καλεῖται,
having-carried buried where now a-city after him Oenoe is-called
καὶ γήμας Αἰγιάλειαν τὴν Ἀδράστου, ἢ ὡς ἔνιοι φασι
and having-married Aegialia the daughter-of-Adrastus or as some say
τὴν Αἰγιαλέως, ἐπί τε Θήβας καὶ Τροίαν ἐστράτευσε.
the daughter-of-Aegialeus against both Thebes and Troy marched

I.9 · PHRIXUS, TYRO, AND THE SONS OF AEOLUS

Athamas' second wife Ino plots against Phrixus and Helle, but their mother Nephele carries them off on a golden ram; Helle falls into the Hellespont, and Phrixus reaches Colchis, where he gives the fleece to Aeetes, who nails it to an oak in Ares' grove and gives him a daughter. Athamas, maddened by Hera, kills his son Learchus, and Ino leaps into the sea with Melicertes. Then the rest of Aeolus' sons: Sisyphus, punished in Hades for betraying Zeus' rape of Aegina; Deion, Perieres, Magnes, and Salmoneus, thunderbolted for imitating Zeus. His daughter Tyro bears Pelias and Neleus to Poseidon; Neleus' sons are killed by Heracles, all but Nestor. The seer Melampus, who understands the speech of animals, wins Pero for his brother Bias: caught stealing the cattle of Phylacus, he is given them for curing the childlessness of Phylacus' son Iphiclus. Apollo serves Admetus, who wins Alcestis with a chariot of lions and boars, and when she dies in his place Persephone, or Heracles, sends her back.

1 τῶν δὲ Αἰόλου παίδων Ἀθάμας, Βοιωτίας δυναστεύων, ἐκ
of-the and of-Aeolus sons Athamas over-Boeotia ruling by
Νεφέλης τεκνοῖ παῖδα μὲν Φρίξον θυγατέρα δὲ Ἕλλην.
Nephele begets a-son indeed Phrixus a-daughter and Helle
αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης
again and Ino marries from whom to-him Learchus and Melicertes
ἐγένοντο. ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις
were-born plotting and Ino against-the of-Nephele children

ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν. λαμβάνουσαι δὲ
persuaded the women the wheat to-parch taking and
κρύφα τῶν ἀνδρῶν τοῦτο ἔπρασσον. γῆ δὲ πεφρυγμένους
secretly from-the husbands this they-did earth and parched
πυροὺς δεχομένη καρποὺς ἐτησίους οὐκ ἀνεδίδου. διὸ
wheat receiving fruits yearly not yielded wherefore
πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς ἀπαλλαγὴν ἐπυνθάνετο
sending — Athamas to Delphi riddance inquired
τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας ἀνέπεισε λέγειν
of-the barrenness Ino and the-ones sent persuaded to-say
ὡς εἴη κεχρησμένον παύσεσθαι τὴν ἀκαρπίαν,
that it-had-been oracled to-be-going-to-cease the unfruitfulness
ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος. τοῦτο ἀκούσας Ἀθάμας,
if be-slaughtered to-Zeus — Phrixus this having-heard Athamas
συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων, τῷ
being-compelled by the-ones the land inhabiting to-the
βωμῷ παρέστησε Φρίξον. Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς
altar set Phrixus Nephele and with the daughter
αὐτὸν ἀνήρπασε, καὶ παρ᾽ Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον
him snatched-away and from Hermes having-received a-golden-fleeced
κριὸν ἔδωκεν, ὑφ᾽ οὗ φερόμενοι δι᾽ οὐρανοῦ γῆν
ram gave by which carried through sky earth
ὑπερέβησαν καὶ θάλασσαν. ὡς δὲ ἐγένοντο κατὰ τὴν
they-crossed and sea when and they-were over the
μεταξὺ κειμένην θάλασσαν Σιγείου καὶ Χερρονήσου, ὤλισθεν
between lying sea of-Sigeum and of-Chersonese slipped
εἰς τὸν βυθὸν ἡ Ἕλλη, κἀκεῖ θανούσης αὐτῆς ἀπ᾽ ἐκείνης
into the deep — Helle and-there having-died she after her
Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος. Φρίξος δὲ ἦλθεν εἰς
Hellespont was-called the sea Phrixus and came to
Κόλχους, ὧν Αἰήτης ἐβασίλευε παῖς Ἡλίου καὶ Περσηίδος,
Colchians whom Aeetes ruled son of-Sun and of-Perseis

ἀδελφὸς δὲ Κίρκης καὶ Πασιφάης, ἣν Μίνως ἔγημεν. οὗτος
brother and of-Circe and of-Pasiphae whom Minos married he
αὐτὸν ὑποδέχεται, καὶ μίαν τῶν θυγατέρων Χαλκιόπην
him receives and one of-the daughters Chalciope
δίδωσιν. ὁ δὲ τὸν χρυσόμαλλον κριὸν Διὶ θύει φυξίῳ,
gives he and the golden-fleeced ram to-Zeus sacrifices god-of-escape
τὸ δὲ τούτου δέρας Αἰήτῃ δίδωσιν· ἐκεῖνος δὲ αὐτὸ περὶ
the and its fleece to-Aeetes gives he and it about
δρῦν ἐν Ἄρεος ἄλσει καθήλωσεν. ἐγένοντο δὲ ἐκ Χαλκιόπης
an-oak in of-Ares grove nailed were-born and from Chalciope
Φρίξῳ παῖδες Ἄργος Μέλας Φρόντις Κυτίσωρος.
to-Phrixus sons Argus Melas Phrontis Cytisorus

2 Ἀθάμας δὲ ὕστερον διὰ μῆνιν Ἥρας καὶ τῶν ἐξ Ἰνοῦς
Athamas and later through wrath of-Hera also of-the from Ino
ἐστερήθη παίδων· αὐτὸς μὲν γὰρ μανεὶς ἐτόξευσε
was-deprived children himself indeed for having-gone-mad shot
Λέαρχον, Ἰνὼ δὲ Μελικέρτην μεθ' ἑαυτῆς εἰς πέλαγος
Learchus Ino and Melicertes with herself into sea
ἔρριψεν. ἐκπεσὼν δὲ τῆς Βοιωτίας ἐπυνθάνετο τοῦ θεοῦ
threw having-been-expelled and — from-Boeotia inquired of-the god
ποῦ κατοικήσει· χρησθέντος δὲ αὐτῷ κατοικεῖν ἐν ᾧπερ
where he-shall-dwell it-having-been-oracled and to-him to-dwell in whatever
ἂν τόπῳ ὑπὸ ζώων ἀγρίων ξενισθῇ, πολλὴν χώραν
— place by animals wild he-be-entertained much land
διελθὼν ἐνέτυχε λύκοις προβάτων μοίρας νεμομένοις·
having-gone-through he-came-upon wolves of-sheep portions feeding-on
οἱ δέ, θεωρήσαντες αὐτόν, ἃ διῃροῦντο ἀπολιπόντες
they and having-seen him what they-were-dividing having-left
ἔφυγον. Ἀθάμας δὲ κτίσας τὴν χώραν Ἀθαμαντίαν
fled Athamas and having-founded the land Athamantia

ἀφ᾽ ἑαυτοῦ προσηγόρευσε, καὶ γήμας Θεμιστὼ τὴν
after himself called and having-married Themisto the
Ὑψέως ἐγέννησε Λεύκωνα Ἐρύθριον Σχοινέα Πτῶον.
daughter-of-Hypseus begot Leucon Erythrius Schoeneus Ptous
Σίσυφος δὲ ὁ Αἰόλου κτίσας Ἐφύραν τὴν νῦν 3
Sisyphus and the son-of-Aeolus having-founded Ephyra the-one now
λεγομένην Κόρινθον γαμεῖ Μερόπην τὴν Ἄτλαντος. ἐξ
called Corinth marries Merope the daughter-of-Atlas from
αὐτῶν παῖς γίνεται Γλαῦκος, ᾧ παῖς Βελλεροφόντης ἐξ
them a-son is-born Glaucus to-whom a-son Bellerophon by
Εὐρυμέδης ἐγεννήθη, ὃς ἔκτεινε τὴν πυρίπνουν Χίμαιραν.
Eurymede was-born who killed the fire-breathing Chimaera
κολάζεται δὲ Σίσυφος ἐν Ἅιδου πέτρον ταῖς χερσὶ καὶ
is-punished and Sisyphus in Hades a-stone with-the hands and
τῇ κεφαλῇ κυλίων, καὶ τοῦτον ὑπερβάλλειν θέλων·
with-the head rolling and it to-heave-over wishing
οὗτος δὲ ὠθούμενος ὑπ᾽ αὐτοῦ ὠθεῖται πάλιν εἰς τοὐπίσω.
it and being-pushed by him is-pushed again to the-back
τίνει δὲ ταύτην τὴν δίκην διὰ τὴν Ἀσωποῦ θυγατέρα
pays and this the penalty because-of the of-Asopus daughter
Αἴγιναν· ἁρπάσαντα γὰρ αὐτὴν κρύφα Δία Ἀσωπῷ
Aegina having-carried-off for her secretly Zeus to-Asopus
μηνῦσαι ζητοῦντι λέγεται.
to-have-informed searching he-is-said
Δηιὼν δὲ βασιλεύων τῆς Φωκίδος Διομήδην τὴν Ξούθου 4
Deion and reigning — over-Phocis Diomede the daughter-of-Xuthus
γαμεῖ, καὶ αὐτῷ γίνεται θυγάτηρ μὲν Ἀστεροδία, παῖδες δὲ
marries and to-him is-born a-daughter indeed Asterodia sons and
Αἰνετὸς Ἄκτωρ Φύλακος Κέφαλος, ὃς γαμεῖ Πρόκριν τὴν
Aenetus Actor Phylacus Cephalus who marries Procris the
Ἐρεχθέως. αὖθις δὲ ἡ Ἠὼς αὐτὸν ἁρπάζει ἐρασθεῖσα.
daughter-of-Erechtheus later and — Dawn him carries-off having-fallen-in-love

5 Περιήρης δὲ Μεσσήνην κατασχὼν Γοργοφόνην τὴν
Perieres and Messene having-occupied Gorgophone the
Περσέως ἔγημεν, ἐξ ἧς Ἀφαρεὺς αὐτῷ καὶ Λεύκιππος
daughter-of-Perseus married from whom Aphareus to-him and Leucippus
καὶ Τυνδάρεως ἔτι τε Ἰκάριος παῖδες ἐγένοντο. πολλοὶ
and Tyndareus further and Icarius sons were-born many
δὲ τὸν Περιήρην λέγουσιν οὐκ Αἰόλου παῖδα ἀλλὰ
but — Perieres say not of-Aeolus son but
Κυνόρτα τοῦ Ἀμύκλα· διόπερ τὰ περὶ τῶν Περιήρους
of-Cynortas the son-of-Amyclas wherefore the-things about the of-Perieres
ἐκγόνων ἐν τῷ Ἀτλαντικῷ γένει δηλώσομεν.
descendants in the Atlantic race we-shall-set-forth

6 Μάγνης δὲ γαμεῖ νύμφην νηίδα, καὶ γίνονται αὐτῷ παῖδες
Magnes and marries a-nymph naiad and are-born to-him sons
Πολυδέκτης καὶ Δίκτυς· οὗτοι Σέριφον ᾤκισαν.
Polydectes and Dictys these Seriphos colonized

7 Σαλμωνεὺς δὲ τὸ μὲν πρῶτον περὶ Θεσσαλίαν κατῴκει,
Salmoneus and at-the indeed first about Thessaly dwelt
παραγενόμενος δὲ αὖθις εἰς Ἦλιν ἐκεῖ πόλιν ἔκτισεν.
having-come and afterward to Elis there a-city founded
ὑβριστὴς δὲ ὢν καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων διὰ
arrogant and being and — to-Zeus to-be-equal wishing for
τὴν ἀσέβειαν ἐκολάσθη· ἔλεγε γὰρ ἑαυτὸν εἶναι Δία, καὶ
the impiety was-punished he-said for himself to-be Zeus and
τὰς ἐκείνου θυσίας ἀφελόμενος ἑαυτῷ προσέτασσε θύειν,
the his sacrifices having-taken-away to-himself ordered to-sacrifice
καὶ βύρσας μὲν ἐξηραμμένας ἐξ ἅρματος μετὰ λεβήτων
and hides indeed dried from chariot with cauldrons
χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων δὲ εἰς οὐρανὸν
bronze dragging said to-thunder hurling and into sky
αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν. Ζεὺς δὲ αὐτὸν
lighted torches said to-lighten Zeus and him

κεραυνώσας τὴν κτισθεῖσαν ὑπ᾽ αὐτοῦ πόλιν καὶ τοὺς
having-thunderstruck the founded by him city and the
οἰκήτορας ἠφάνισε πάντας.
inhabitants wiped-out all
Τυρὼ δὲ ἡ Σαλμωνέως θυγάτηρ καὶ Ἀλκιδίκης παρὰ 8
Tyro and the of-Salmoneus daughter and of-Alcidice with
Κρηθεῖ τρεφομένη ἔρωτα ἴσχει Ἐνιπέως τοῦ ποταμοῦ,
Cretheus being-reared love conceives for-Enipeus the river
καὶ συνεχῶς ἐπὶ τὰ τούτου ῥεῖθρα φοιτῶσα τούτοις
and continually to the his streams going to-these
ἐπωδύρετο. Ποσειδῶν δὲ εἰκασθεὶς Ἐνιπεῖ συγκατεκλίθη
she-lamented Poseidon and having-been-likened to-Enipeus lay-with
αὐτῇ· ἡ δὲ γεννήσασα κρύφα διδύμους παῖδας ἐκτίθησιν.
her she and having-borne secretly twin sons exposes
ἐκκειμένων δὲ τῶν βρεφῶν, παριόντων ἱπποφορβῶν ἵππος
being-exposed and the babes passing horse-keepers a-horse
μία προσαψαμένη τῇ χηλῇ θατέρου τῶν βρεφῶν πέλιόν
one having-touched with-the hoof one-of-the-two of-the babes livid
τι τοῦ προσώπου μέρος ἐποίησεν. ὁ δὲ ἱπποφορβὸς
a of-the face part made the and horse-keeper
ἀμφοτέρους τοὺς παῖδας ἀνελόμενος ἔθρεψε, καὶ τὸν
both the children having-taken-up reared and the-one
μὲν πελιωθέντα Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα.
indeed made-livid Pelias called the and other Neleus
τελειωθέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα, καὶ τὴν μητρυιὰν
having-grown-up and they-recognized the mother and the stepmother
ἀπέκτειναν Σιδηρώ· κακουμένην γὰρ γνόντες ὑπ᾽ αὐτῆς
killed Sidero ill-used for having-learned by her
τὴν μητέρα ὥρμησαν ἐπ᾽ αὐτήν, ἡ δὲ φθάσασα εἰς τὸ τῆς
the mother they-rushed at her she and having-anticipated into the —

Ἥρας τέμενος κατέφυγε, Πελίας δὲ ἐπ᾽ αὐτῶν τῶν βωμῶν
of-Hera precinct fled Pelias but on very the altars
αὐτὴν κατέσφαξε, καὶ καθόλου διετέλει τὴν Ἥραν ἀτιμάζων.
her slaughtered and in-general continued — Hera dishonoring
9 ἐστασίασαν δὲ ὕστερον πρὸς ἀλλήλους, καὶ Νηλεὺς μὲν
they-quarreled and later with one-another and Neleus indeed
ἐκπεσὼν ἦκεν εἰς Μεσσήνην καὶ Πύλον κτίζει, καὶ
having-been-expelled came to Messene and Pylos founds and
γαμεῖ Χλωρίδα τὴν Ἀμφίονος, ἐξ ἧς αὐτῷ γίνεται
marries Chloris the daughter-of-Amphion from whom to-him is-born
θυγάτηρ μὲν Πηρώ, ἄρρενες δὲ Ταῦρος Ἀστέριος Πυλάων
a-daughter indeed Pero males and Taurus Asterius Pylaon
Δηίμαχος Εὐρύβιος Ἐπίλαος Φράσιος Εὐρυμένης Εὐαγόρας
Deimachus Eurybius Epilaus Phrasius Eurymenes Evagoras
Ἀλάστωρ Νέστωρ Περικλύμενος, ᾧ δὴ καὶ Ποσειδῶν
Alastor Nestor Periclymenus to-whom indeed also Poseidon
δίδωσι μεταβάλλειν τὰς μορφάς, καὶ μαχόμενος ὅτε
gives to-change the shapes and fighting when
Ἡρακλῆς ἐξεπόρθει Πύλον, γινόμενος ὁτὲ μὲν λέων
Heracles was-sacking Pylos becoming at-one-time indeed a-lion
ὁτὲ δὲ ὄφις ὁτὲ δὲ μέλισσα, ὑφ᾽ Ἡρακλέους μετὰ
at-another and a-snake at-another and a-bee by Heracles with
τῶν ἄλλων Νηλέως παίδων ἀπέθανεν. ἐσώθη δὲ Νέστωρ
the other of-Neleus sons died was-saved but Nestor
μόνος, ἐπειδὴ παρὰ Γερηνίοις ἐτρέφετο· ὃς γήμας
alone since among Gerenians he-was-being-reared who having-married
Ἀναξιβίαν τὴν Κρατιέως θυγατέρας μὲν Πεισιδίκην
Anaxibia the daughter-of-Cratieus daughters indeed Pisidice
καὶ Πολυκάστην ἐγέννησε, παῖδας δὲ Περσέα Στράτιχον
and Polycaste begot sons and Perseus Stratichus
Ἄρητον Ἐχέφρονα Πεισίστρατον Ἀντίλοχον Θρασυμήδην.
Aretus Echephron Pisistratus Antilochus Thrasymedes

Πελίας δὲ περὶ Θεσσαλίαν κατῴκει, καὶ γήμας 10
Pelias and about Thessaly dwelt and having-married
Ἀναξιβίαν τὴν Βίαντος, ὡς δὲ ἔνιοι Φυλομάχην τὴν
Anaxibia the daughter-of-Bias or as some Phylomache the
Ἀμφίονος, ἐγέννησε παῖδα μὲν Ἄκαστον, θυγατέρας
daughter-of-Amphion begot a-son indeed Acastus daughters
δὲ Πεισιδίκην Πελόπειαν Ἱπποθόην Ἄλκηστιν.
and Pisidice Pelopia Hippothoe Alcestis
Κρηθεὺς δὲ κτίσας Ἰωλκὸν γαμεῖ Τυρὼ τὴν 11
Cretheus and having-founded Iolcus marries Tyro the
Σαλμωνέως, ἐξ ἧς αὐτῷ γίνονται παῖδες Αἴσων
daughter-of-Salmoneus from whom to-him are-born sons Aeson
Ἀμυθάων Φέρης. Ἀμυθάων μὲν οὖν οἰκῶν Πύλον
Amythaon Pheres Amythaon indeed then dwelling-in Pylos
Εἰδομένην γαμεῖ τὴν Φέρητος, καὶ γίνονται παῖδες αὐτῷ
Idomene marries the daughter-of-Pheres and are-born sons to-him
Βίας καὶ Μελάμπους, ὃς ἐπὶ τῶν χωρίων διατελῶν, οὔσης
Bias and Melampus who on the fields living there-being
πρὸ τῆς οἰκήσεως αὐτοῦ δρυὸς ἐν ᾗ φωλεὸς ὄφεων
before the dwelling his an-oak in which a-den of-snakes
ὑπῆρχεν, ἀποκτεινάντων τῶν θεραπόντων τοὺς ὄφεις τὰ
was having-killed the servants the snakes the
μὲν ἑρπετὰ ξύλα συμφορήσας ἔκαυσε, τοὺς δὲ τῶν ὄφεων
indeed reptiles wood having-gathered he-burned the and of-the snakes
νεοσσοὺς ἔθρεψεν. οἱ δὲ γενόμενοι τέλειοι παραστάντες
young he-reared they and having-become full-grown standing-beside
αὐτῷ κοιμωμένῳ τῶν ὤμων ἐξ ἑκατέρου τὰς ἀκοὰς ταῖς
him sleeping from-the shoulders from each the ears with-the
γλώσσαις ἐξεκάθαιρον. ὁ δὲ ἀναστὰς καὶ γενόμενος περιδεὴς
tongues cleaned he and having-risen and having-become terrified
τῶν ὑπερπετομένων ὀρνέων τὰς φωνὰς συνίει, καὶ παρ᾽
of-the overflying birds the voices understood and from

ἐκείνων μανθάνων προύλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα.
them learning he-foretold to-the men the future
προσέλαβε δὲ καὶ τὴν διὰ τῶν ἱερῶν μαντικήν, περὶ δὲ τὸν
he-acquired and also the through the sacrifices divination about and —
Ἀλφειὸν συντυχὼν Ἀπόλλωνι τὸ λοιπὸν ἄριστος ἦν μάντις.
Alpheus having-met Apollo the rest best was seer
12 Βίας δὲ ἐμνηστεύετο Πηρὼ τὴν Νηλέως· ὁ δὲ πολλῶν
Bias and wooed Pero the daughter-of-Neleus he and many
αὐτῷ μνηστευομένων τὴν θυγατέρα δώσειν ἔφη τῷ
him wooing the daughter to-be-going-to-give said to-the-one
τὰς Φυλάκου βόας κομίσαντι αὐτῷ. αὗται δὲ ἦσαν ἐν
the of-Phylacus cattle having-brought to-him these and were in
Φυλάκῃ, καὶ κύων ἐφύλασσεν αὐτὰς οὗ οὔτε ἄνθρωπος
Phylace and a-dog guarded them which neither man
οὔτε θηρίον πέλας ἐλθεῖν ἠδύνατο. ταύτας ἀδυνατῶν Βίας
nor beast near to-come could these being-unable Bias
τὰς βόας κλέψαι παρεκάλει τὸν ἀδελφὸν συλλαβέσθαι.
the cattle to-steal called the brother to-help
Μελάμπους δὲ ὑπέσχετο, καὶ προεῖπεν ὅτι φωραθήσεται
Melampus and promised and foretold that he-will-be-caught
κλέπτων καὶ δεθεὶς ἐνιαυτὸν οὕτω τὰς βόας λήψεται.
stealing and bound a-year so the cattle he-will-get
μετὰ δὲ τὴν ὑπόσχεσιν εἰς Φυλάκην ἀπῆλθε καί, καθάπερ
after and the promise to Phylace went-away and as
προεῖπε, φωραθεὶς ἐπὶ τῇ κλοπῇ δέσμιος ἐν οἰκήματι
he-foretold caught at the theft bound in a-chamber
ἐφυλάσσετο. λειπομένου δὲ τοῦ ἐνιαυτοῦ βραχέος χρόνου,
was-guarded remaining and of-the year short time
τῶν κατὰ τὸ κρυφαῖον τῆς στέγης σκωλήκων ἀκούει,
of-the in the hidden-part of-the roof worms he-hears
τοῦ μὲν ἐρωτῶντος πόσον ἤδη μέρος τοῦ δοκοῦ
the-one indeed asking how-much already part of-the beam

διαβέβρωται, τῶν δὲ ἀποκρινομένων λοιπὸν ἐλάχιστον
has-been-eaten-through the-others and answering remaining very-little
εἶναι. καὶ ταχέως ἐκέλευσεν αὑτὸν εἰς ἕτερον οἴκημα
to-be and quickly he-bade himself into another chamber
μεταγαγεῖν, γενομένου δὲ τούτου μετ᾽ οὐ πολὺ συνέπεσε
to-move having-happened and this after not long fell-in
τὸ οἴκημα. θαυμάσας δὲ Φύλακος, καὶ μαθὼν ὅτι ἐστὶ
the chamber having-wondered and Phylacus and having-learned that he-is
μάντις ἄριστος, λύσας παρεκάλεσεν εἰπεῖν ὅπως αὐτοῦ
seer best having-released called to-say how his
τῷ παιδὶ Ἰφίκλῳ παῖδες γένωνται. ὁ δὲ ὑπέσχετο ἐφ᾽
to-the son Iphiclus children might-be-born he and promised on-condition
ᾧ τὰς βόας λήψεται. καὶ καταθύσας ταύρους δύο καὶ
that the cattle he-will-get and having-sacrificed bulls two and
μελίσας τοὺς οἰωνοὺς προσεκαλέσατο· παραγενομένου δὲ
having-cut-up the birds-of-omen he-summoned having-come and
αἰγυπιοῦ, παρὰ τούτου μανθάνει δὴ ὅτι Φύλακός ποτε
a-vulture from this he-learns indeed that Phylacus once
κριοὺς τέμνων ἐπὶ τῶν αἰδοίων παρὰ τῷ Ἰφίκλῳ τὴν
rams cutting by the genitals beside — Iphiclus the
μάχαιραν ἡμαγμένην ἔτι κατέθετο, δείσαντος δὲ τοῦ παιδὸς
knife bloodied still laid-down having-feared and the boy
καὶ φυγόντος αὖθις κατὰ τῆς ἱερᾶς δρυὸς αὐτὴν ἔπηξε,
and having-fled he-again in the sacred oak it fixed
καὶ ταύτην ἀμφιτροχάσας ἐκάλυψεν ὁ φλοιός. ἔλεγεν οὖν,
and it having-grown-round covered the bark he-said then
εὑρεθείσης τῆς μαχαίρας εἰ ξύων τὸν ἰὸν ἐπὶ ἡμέρας δέκα
found the knife if scraping the rust for days ten
Ἰφίκλῳ δῷ πιεῖν, παῖδα γεννήσειν. ταῦτα μαθὼν
to-Iphiclus he-should-give to-drink a-son to-be-going-to-beget these-things having-learned
παρ᾽ αἰγυπιοῦ Μελάμπους τὴν μὲν μάχαιραν εὗρε, τῷ δὲ
from vulture Melampus the indeed knife found to-the and

Ἰφίκλῳ τὸν ἰὸν ξύσας ἐπὶ ἡμέρας δέκα δέδωκε πιεῖν,
Iphiclus the rust having-scraped for days ten gave to-drink
καὶ παῖς αὐτῷ Ποδάρκης ἐγένετο. τὰς δὲ βόας εἰς Πύλον
and a-son to-him Podarces was-born the and cattle to Pylos
ἤλασε, καὶ τῷ ἀδελφῷ τὴν Νηλέως θυγατέρα λαβὼν
he-drove and to-the brother the of-Neleus daughter having-got
ἔδωκε. καὶ μέχρι μέν τινος ἐν Μεσσήνῃ κατῴκει, ὡς δὲ
gave and until indeed a-time in Messene dwelt when and
τὰς ἐν Ἄργει γυναῖκας ἐξέμηνε Διόνυσος, ἐπὶ μέρει τῆς
the in Argos women maddened Dionysus on a-share of-the
βασιλείας ἰασάμενος αὐτὰς ἐκεῖ μετὰ Βίαντος κατῴκησε.
kingdom having-healed them there with Bias settled
13 Βίαντος δὲ καὶ Πηροῦς Ταλαός, οὗ καὶ Λυσιμάχης
of-Bias and and of-Pero Talaus of-whom and of-Lysimache
τῆς Ἄβαντος τοῦ Μελάμποδος Ἄδραστος Παρθενοπαῖος
the daughter-of-Abas the son-of-Melampus Adrastus Parthenopaeus
Πρῶναξ Μηκιστεὺς Ἀριστόμαχος Ἐριφύλη, ἣν Ἀμφιάραος
Pronax Mecisteus Aristomachus Eriphyle whom Amphiaraus
γαμεῖ. Παρθενοπαίου δὲ Πρόμαχος ἐγένετο, ὃς μετὰ
marries of-Parthenopaeus and Promachus was-born who with
τῶν ἐπιγόνων ἐπὶ Θήβας ἐστρατεύθη, Μηκιστέως δὲ
the Epigoni against Thebes marched of-Mecisteus and
Εὐρύαλος, ὃς ἦκεν εἰς Τροίαν. Πρώνακτος δὲ ἐγένετο
Euryalus who came to Troy of-Pronax and was-born
Λυκοῦργος, Ἀδράστου δὲ καὶ Ἀμφιθέας τῆς Πρώνακτος
Lycurgus of-Adrastus and and of-Amphithea the daughter-of-Pronax
θυγατέρες μὲν Ἀργεία Δηιπύλη Αἰγιάλεια, παῖδες δὲ
daughters indeed Argia Deipyle Aegialia sons and
Αἰγιαλεὺς καὶ Κυάνιππος.
Aegialeus and Cyanippus

Φέρης δὲ ὁ Κρηθέως Φερὰς ἐν Θεσσαλίᾳ κτίσας 14
Pheres and the son-of-Cretheus Pherae in Thessaly having-founded
ἐγέννησεν Ἄδμητον καὶ Λυκοῦργον. Λυκοῦργος μὲν οὖν
begot Admetus and Lycurgus Lycurgus indeed then
περὶ Νεμέαν κατῴκησε, γήμας δὲ Εὐρυδίκην, ὡς δὲ
about Nemea dwelt having-married and Eurydice as but
ἔνιοί φασιν Ἀμφιθέαν, ἐγέννησεν Ὀφέλτην τὸν ὕστερον
some say Amphithea begot Opheltes the-one later
κληθέντα Ἀρχέμορον.
called Archemorus
Ἀδμήτου δὲ βασιλεύοντος τῶν Φερῶν, ἐθήτευσεν Ἀπόλλων 15
Admetus and reigning — over-Pherae served Apollo
αὐτῷ μνηστευομένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν.
him wooing the of-Pelias daughter Alcestis
ἐκείνου δὲ δώσειν ἐπαγγειλαμένου τὴν θυγατέρα τῷ
he and to-be-going-to-give having-promised the daughter to-the-one
καταζεύξαντι ἅρμα λέοντος καὶ κάπρου, Ἀπόλλων ζεύξας
having-yoked a-car of-a-lion and of-a-boar Apollo having-yoked
ἔδωκεν· ὁ δὲ κομίσας πρὸς Πελίαν Ἄλκηστιν λαμβάνει.
gave he and having-brought to Pelias Alcestis receives
θύων δὲ ἐν τοῖς γάμοις ἐξελάθετο Ἀρτέμιδι θῦσαι· διὰ
sacrificing and at the marriage he-forgot to-Artemis to-sacrifice because-of
τοῦτο τὸν θάλαμον ἀνοίξας εὗρε δρακόντων σπειράμασι
this the chamber having-opened he-found of-snakes with-coils
πεπληρωμένον. Ἀπόλλων δὲ εἰπὼν ἐξιλάσκεσθαι τὴν
filled Apollo and having-bidden to-propitiate the
θεόν, ᾐτήσατο παρὰ μοιρῶν ἵνα, ὅταν Ἄδμητος μέλλῃ
goddess asked from Fates that when Admetus should-be-about
τελευτᾶν, ἀπολυθῇ τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ
to-die he-be-released from-the death if voluntarily anyone for
αὐτοῦ θνήσκειν ἕληται. ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν
him to-die should-choose when and came the of-the to-die

ἡμέρα, μήτε τοῦ πατρὸς μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ
day neither the father nor the mother for him
θνήσκειν θελόντων, Ἄλκηστις ὑπεραπέθανε. καὶ αὐτὴν
to-die wishing Alcestis died-for-him and her
πάλιν ἀνέπεμψεν ἡ Κόρη, ὡς δὲ ἔνιοι λέγουσιν, Ἡρακλῆς
again sent-up the Maiden as but some say Heracles
πρὸς αὐτὸν ἀνεκόμισε μαχεσάμενος Ἅιδῃ.
to him brought-back having-fought with-Hades

I.9.16 · THE ARGONAUTS AND MEDEA

Pelias, warned to beware a man with one sandal, sees Jason arrive having lost one in the Anaurus and sends him for the golden fleece. Argus builds the Argo, and the heroes of Greece sail in her. On Lemnos they lie with the women who had killed their husbands; among the Doliones they kill King Cyzicus by mistake; in Mysia they lose Heracles and Polyphemus, searching for Hylas; Polydeuces kills the boxer Amycus; and the sons of Boreas drive the Harpies from the blind Phineus, who tells them how to pass the Clashing Rocks. In Colchis Aeetes sets Jason to yoke fire-breathing bulls and sow dragon's teeth, and Medea, in love, helps him and takes the fleece. Fleeing, she scatters her brother Apsyrtus' limbs in the sea; Circe purifies them, they pass the Sirens and Scylla, marry among the Phaeacians, and Medea kills Talos on Crete. At home she contrives Pelias' death, and at Corinth, deserted for Glauce, she kills her rival and her own children and flees to Athens.

16 Αἴσονος δὲ τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐτολύκου
of-Aeson and the son-of-Cretheus and of-Polymede the daughter-of-Autolycus
Ἰάσων. οὗτος ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας
Jason he dwelt in Iolcus of-the and Iolcus Pelias
ἐβασίλευσε μετὰ Κρηθέα, ᾧ χρωμένῳ περὶ τῆς βασιλείας
reigned after Cretheus to-whom consulting about the kingdom
ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξασθαι. τὸ μὲν
oracled the god the one-sandaled to-guard-against the indeed

οὖν πρῶτον ἠγνόει τὸν χρησμόν, αὖθις δὲ ὕστερον
then first he-did-not-understand the oracle again and later
αὐτὸν ἔγνω. τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν
him he-recognized offering for at the sea to-Poseidon a-sacrifice
ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσονα μετεπέμψατο.
others both many to this and — Jason he-sent-for
ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς χωρίοις διατελῶν ἔσπευσεν
he and from-longing for-farming in the fields living hastened
ἐπὶ τὴν θυσίαν· διαβαίνων δὲ ποταμὸν Ἄναυρον ἐξῆλθε
to the sacrifice crossing and river Anaurus came-out
μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον.
one-sandaled the other having-lost in the stream sandal
θεασάμενος δὲ Πελίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν
having-seen and Pelias him and the oracle having-put-together
ἠρώτα προσελθών, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον
asked having-approached what — he-would-do power having if oracle
ἦν αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν. ὁ
there-were to-him by some to-be-going-to-be-murdered of-the citizens he
δέ, εἴτε ἐπελθὸν ἄλλως, εἴτε διὰ μῆνιν Ἥρας, ἵν'
and whether having-occurred-to-him otherwise or through wrath of-Hera so-that
ἔλθοι κακὸν Μήδεια Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα),
might-come a-bane Medea to-Pelias the for Hera not he-honored
"τὸ χρυσόμαλλον δέρας" ἔφη "προσέταττον ἂν φέρειν
"the golden-fleeced fleece" he-said "I-would-order — to-bring
αὐτῷ." τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν
to-him" this Pelias having-heard at-once for the fleece to-go
ἐκέλευσεν αὐτόν. τοῦτο δὲ ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει
bade him this and in Colchians was in of-Ares grove
κρεμάμενον ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀύπνου.
hanging from an-oak was-guarded and by a-dragon sleepless

ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε τὸν
on this being-sent Jason Argus called-in the
Φρίξου, κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον
son-of-Phrixus and-he Athena having-advised a-fifty-oared
ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ
ship built the-one called after the-one
κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν
having-built-it Argo on and the prow fitted
Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. ὡς δὲ
Athena a-speaking of-oak the Dodonian timber when and
ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν
the ship was-built consulting the god him to-sail
ἐπέτρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. οἱ
allowed having-gathered the best — of-Greece they
δὲ συναθροισθέντες εἰσὶν οἵδε· Τίφυς Ἁγνίου, ὃς ἐκυβέρνα
and gathered are these Tiphys son-of-Hagnias who steered
τὴν ναῦν, Ὀρφεὺς Οἰάγρου, Ζήτης καὶ Κάλαϊς Βορέου,
the ship Orpheus son-of-Oeagrus Zetes and Calais sons-of-Boreas
Κάστωρ καὶ Πολυδεύκης Διός, Τελαμὼν καὶ Πηλεὺς
Castor and Polydeuces sons-of-Zeus Telamon and Peleus
Αἰακοῦ, Ἡρακλῆς Διός, Θησεὺς Αἰγέως, Ἴδας καὶ
sons-of-Aeacus Heracles son-of-Zeus Theseus son-of-Aegeus Idas and
Λυγκεὺς Ἀφαρέως, Ἀμφιάραος Οἰκλέους, Καινεὺς Κορώνου
Lynceus sons-of-Aphareus Amphiaraus son-of-Oicles Caeneus son-of-Coronus
Παλαίμων Ἡφαίστου ἢ Αἰτωλοῦ, Κηφεὺς Ἀλεοῦ, Λαέρτης
Palaemon son-of-Hephaestus or of-Aetolus Cepheus son-of-Aleus Laertes
Ἀρκεισίου, Αὐτόλυκος Ἑρμοῦ, Ἀταλάντη Σχοινέως,
son-of-Arcisius Autolycus son-of-Hermes Atalanta daughter-of-Schoeneus
Μενοίτιος Ἄκτορος, Ἄκτωρ Ἱππάσου, Ἄδμητος Φέρητος,
Menoetius son-of-Actor Actor son-of-Hippasus Admetus son-of-Pheres
Ἄκαστος Πελίου, Εὔρυτος Ἑρμοῦ, Μελέαγρος Οἰνέως,
Acastus son-of-Pelias Eurytus son-of-Hermes Meleager son-of-Oeneus

Ἀγκαῖος Λυκούργου, Εὔφημος Ποσειδῶνος, Ποίας
Ancaeus son-of-Lycurgus Euphemus son-of-Poseidon Poeas
Θαυμάκου, Βούτης Τελέοντος, Φᾶνος καὶ Στάφυλος
son-of-Thaumacus Butes son-of-Teleon Phanus and Staphylus
Διονύσου, Ἐργῖνος Ποσειδῶνος, Περικλύμενος Νηλέως,
sons-of-Dionysus Erginus son-of-Poseidon Periclymenus son-of-Neleus
Αὐγέας Ἡλίου, Ἴφικλος Θεστίου, Ἄργος Φρίξου,
Augeas son-of-Sun Iphiclus son-of-Thestius Argus son-of-Phrixus
Εὐρύαλος Μηκιστέως, Πηνέλεως Ἱππάλμου, Λήιτος
Euryalus son-of-Mecisteus Peneleos son-of-Hippalmus Leitus
Ἀλέκτορος, Ἴφιτος Ναυβόλου, Ἀσκάλαφος καὶ Ἰάλμενος
son-of-Alector Iphitus son-of-Naubolus Ascalaphus and Ialmenus
Ἄρεος, Ἀστέριος Κομήτου, Πολύφημος Ἐλάτου.
sons-of-Ares Asterius son-of-Cometes Polyphemus son-of-Elatus
οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες προσίσχουσι 17
these commanding Jason having-put-to-sea touch-at
Λήμνῳ. ἔτυχε δὲ ἡ Λῆμνος ἀνδρῶν τότε οὖσα ἔρημος,
Lemnos happened and — Lemnos of-men then being bereft
βασιλευομένη δὲ ὑπὸ Ὑψιπύλης τῆς Θόαντος δι᾽ αἰτίαν
being-ruled and by Hypsipyle the daughter-of-Thoas for reason
τήνδε. αἱ Λήμνιαι τὴν Ἀφροδίτην οὐκ ἐτίμων· ἡ
this the Lemnian-women — Aphrodite not honored she
δὲ αὐταῖς ἐμβάλλει δυσοσμίαν, καὶ διὰ τοῦτο οἱ
and on-them casts an-ill-smell and because-of this the-ones
γήμαντες αὐτὰς ἐκ τῆς πλησίον Θρᾴκης λαβόντες
having-married them from the neighboring Thrace having-taken
αἰχμαλωτίδας συνευνάζοντο αὐταῖς. ἀτιμαζόμεναι δὲ αἱ
captive-women slept-with them being-dishonored and the
Λήμνιαι τούς τε πατέρας καὶ τοὺς ἄνδρας φονεύουσι·
Lemnian-women the both fathers and the husbands murder
μόνη δὲ ἔσωσεν Ὑψιπύλη τὸν ἑαυτῆς πατέρα κρύψασα
alone and saved Hypsipyle the her-own father having-hidden

Θόαντα. προσσχόντες οὖν τότε γυναικοκρατουμένῃ τῇ
Thoas having-touched then at-the-time ruled-by-women —
Λήμνῳ μίσγονται ταῖς γυναιξίν. Ὑψιπύλη δὲ Ἰάσονι
Lemnos they-have-intercourse-with the women Hypsipyle and with-Jason
συνευνάζεται, καὶ γεννᾷ παῖδας Εὔνηον καὶ Νεβροφόνον.
sleeps and bears sons Euneus and Nebrophonus
18 ἀπὸ Λήμνου δὲ προσίσχουσι Δολίοσιν, ὧν ἐβασίλευε
from Lemnos and they-touch-at Doliones whom ruled
Κύζικος. οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως. νυκτὸς
Cyzicus he them received kindly by-night
δὲ ἀναχθέντες ἐντεῦθεν καὶ περιπεσόντες ἀντιπνοίαις,
and having-put-to-sea from-there and having-met contrary-winds
ἀγνοοῦντες πάλιν τοῖς Δολίοσι προσίσχουσιν. οἱ δὲ
unawares again at-the Doliones touch they and
νομίζοντες Πελασγικὸν εἶναι στρατόν (ἔτυχον γὰρ ὑπὸ
thinking Pelasgian to-be an-army they-happened for by
Πελασγῶν συνεχῶς πολεμούμενοι) μάχην τῆς νυκτὸς
Pelasgians continually being-warred-on battle in-the night
συνάπτουσιν ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. κτείναντες
join unknowing against unknowing having-killed
δὲ πολλοὺς οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ'
and many the Argonauts with whom also Cyzicus by
ἡμέραν, ὡς ἔγνωσαν, ἀποδυράμενοι τάς τε κόμας
day when they-recognized-it having-mourned the both hair
ἐκείραντο καὶ τὸν Κύζικον πολυτελῶς ἔθαψαν. καὶ μετὰ
cut and — Cyzicus sumptuously buried and after
τὴν ταφὴν πλεύσαντες Μυσίᾳ προσίσχουσιν.
the burial having-sailed at-Mysia touch
19 ἐνταῦθα δὲ Ἡρακλέα καὶ Πολύφημον κατέλιπον. Ὕλας γὰρ
there and Heracles and Polyphemus they-left Hylas for
ὁ Θειοδάμαντος παῖς, Ἡρακλέους δὲ ἐρώμενος, ἀποσταλεὶς
the of-Thiodamas son of-Heracles and beloved having-been-sent

ὑδρεύσασθαι διὰ κάλλος ὑπὸ νυμφῶν ἡρπάγη. Πολύφημος
to-draw-water for beauty by nymphs was-snatched Polyphemus
δὲ ἀκούσας αὐτοῦ βοήσαντος, σπασάμενος τὸ ξίφος ἐδίωκεν,
and having-heard him having-cried-out having-drawn the sword pursued
ὑπὸ λῃστῶν ἄγεσθαι νομίζων. καὶ δηλοῖ συντυχόντι
by pirates to-be-carried-off thinking and reveals-it to-having-met
Ἡρακλεῖ. ζητούντων δὲ ἀμφοτέρων τὸν Ὕλαν ἡ ναῦς
Heracles searching and both — for-Hylas the ship
ἀνήχθη, καὶ Πολύφημος μὲν ἐν Μυσίᾳ κτίσας πόλιν Κίον
put-to-sea and Polyphemus indeed in Mysia having-founded a-city Cius
ἐβασίλευσεν, Ἡρακλῆς δὲ ὑπέστρεψεν εἰς Ἄργος. Ἡρόδωρος
reigned Heracles and returned to Argos Herodorus
δὲ αὐτὸν οὐδὲ τὴν ἀρχήν φησι πλεῦσαι τότε, ἀλλὰ παρ᾽
but him not-even at-the start says to-have-sailed then but with
Ὀμφάλῃ δουλεύειν. Φερεκύδης δὲ αὐτὸν ἐν Ἀφεταῖς τῆς
Omphale to-be-a-slave Pherecydes and him at Aphetae —
Θεσσαλίας ἀπολειφθῆναι λέγει, τῆς Ἀργοῦς φθεγξαμένης
of-Thessaly to-have-been-left-behind says — Argo having-spoken
μὴ δύνασθαι φέρειν τὸ τούτου βάρος. Δημάρατος δὲ αὐτὸν
not to-be-able to-bear the his weight Demaratus but him
εἰς Κόλχους πεπλευκότα παρέδωκε· Διονύσιος μὲν γὰρ
to Colchians having-sailed handed-down Dionysius indeed for
αὐτὸν καὶ ἡγεμόνα φησὶ τῶν Ἀργοναυτῶν γενέσθαι.
him also leader says of-the Argonauts to-have-been
ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν, ἧς 20
from and Mysia they-went-away to the of-Bebryces land which
ἐβασίλευεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ νύμφης Βιθυνίδος.
ruled Amycus of-Poseidon son and of-nymph Bithynian
γενναῖος δὲ ὢν οὗτος τοὺς προσσχόντας ξένους ἠνάγκαζε
doughty and being he the having-touched strangers compelled
πυκτεύειν καὶ τοῦτον τὸν τρόπον ἀνῄρει. παραγενόμενος
to-box and this the way destroyed having-come

οὖν καὶ τότε ἐπὶ τὴν Ἀργὼ τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν
then also then to — Argo the best of-them to boxing
προεκαλεῖτο. Πολυδεύκης δὲ ὑποσχόμενος πυκτεύσειν
challenged Polydeuces and having-undertaken to-be-going-to-box
πρὸς αὐτόν, πλήξας κατὰ τὸν ἀγκῶνα ἀπέκτεινε. τῶν
against him having-struck on the elbow killed of-the
δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτόν, ἁρπάσαντες οἱ
and Bebryces having-rushed at him having-snatched the
ἀριστεῖς τὰ ὅπλα πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν.
chiefs the arms many fleeing slaughter of-them
21 ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τὴν τῆς Θρᾴκης
from-there having-put-to-sea they-arrive at the — of-Thrace
Σαλμυδησσόν, ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις
Salmydessus where dwelt Phineus a-seer the sight
πεπηρωμένος. τοῦτον οἱ μὲν Ἀγήνορος εἶναι λέγουσιν,
blinded him some indeed of-Agenor to-be say
οἱ δὲ Ποσειδῶνος υἱόν· καὶ πηρωθῆναί φασιν αὐτὸν
others but of-Poseidon son and to-have-been-blinded they-say him
οἱ μὲν ὑπὸ θεῶν, ὅτι προέλεγε τοῖς ἀνθρώποις τὰ
some indeed by gods because he-foretold to-the men the
μέλλοντα, οἱ δὲ ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι
future others and by Boreas and the Argonauts because
πεισθεὶς μητρυιᾷ τοὺς ἰδίους ἐτύφλωσε παῖδας, τινὲς
having-been-persuaded by-stepmother the own he-blinded children some
δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλχων
and by Poseidon because to-the of-Phrixus sons the from Colchians
εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν. ἔπεμψαν δὲ αὐτῷ καὶ
to — Greece voyage he-revealed sent and to-him also
τὰς ἁρπυίας οἱ θεοί· πτερωταὶ δὲ ἦσαν αὗται, καὶ ἐπειδὴ
the Harpies the gods winged and were these and whenever
τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐρανοῦ καθιπτάμεναι
— to-Phineus was-set-beside a-table from sky swooping-down

τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα
the indeed most snatched-up little but whatever of-stench full
κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. βουλομένοις
they-left so-that not to-be-able to-touch wishing
δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν
and the Argonauts the-things about the voyage to-learn
ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν ἁρπυιῶν αὐτὸν ἐὰν
to-be-going-to-advise the voyage he-said from-the Harpies him if
ἀπαλλάξωσιν. οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων,
they-should-rid they and set-beside him a-table of-foods
ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι τὴν τροφὴν
Harpies and suddenly with shouting having-swooped-down the food
ἥρπασαν. θεασάμενοι δὲ οἱ Βορέου παῖδες Ζήτης καὶ
snatched having-seen and the of-Boreas sons Zetes and
Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη δι᾽ ἀέρος
Calais being winged having-drawn the swords through air
ἐδίωκον. ἦν δὲ ταῖς ἁρπυίαις χρεὼν τεθνάναι ὑπὸ τῶν
pursued it-was and for-the Harpies fated to-die by the
Βορέου παίδων, τοῖς δὲ Βορέου παισὶ τότε τελευτήσειν ὅταν
of-Boreas sons for-the and of-Boreas sons then to-be-going-to-die when
διώκοντες μὴ καταλάβωσι. διωκομένων δὲ τῶν ἁρπυιῶν
pursuing not they-overtake being-pursued and the Harpies
ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν
the-one indeed in Peloponnese into the Tigres river
ἐμπίπτει, ὃς νῦν ἀπ᾽ ἐκείνης Ἅρπυς καλεῖται· ταύτην
falls which now after her Harpys is-called her
δὲ οἱ μὲν Νικοθόην οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ
and some indeed Nicothoe others but Aellopus call the and
ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι Ὠκυθόη (Ἡσίοδος
other called Ocypete as but some Ocythoe Hesiod
δὲ λέγει αὐτὴν Ὠκυπόδην), αὕτη κατὰ τὴν Προποντίδα
and calls her Ocypode she along — Propontis

φεύγουσα μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ'
fleeing as-far-as Echinades came islands which now after
ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γὰρ ὡς ἦλθεν ἐπὶ
her Strophades are-called she-turned for when she-came to
ταύτας, καὶ γενομένη κατὰ τὴν ἠιόνα ὑπὸ καμάτου πίπτει
these and having-come on the shore from weariness falls
σὺν τῷ διώκοντι. Ἀπολλώνιος δὲ ἐν τοῖς Ἀργοναύταις
with the pursuer Apollonius but in the Argonautica
ἕως Στροφάδων νήσων φησὶν αὐτὰς διωχθῆναι καὶ
as-far-as Strophades islands says them to-have-been-pursued and
μηδὲν παθεῖν, δούσας ὅρκον τὸν Φινέα μηκέτι ἀδικῆσαι.
nothing to-have-suffered having-given an-oath — Phineus no-longer to-wrong
22 ἀπαλλαγεὶς δὲ τῶν ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν πλοῦν
rid and of-the Harpies Phineus revealed the course
τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν συμπληγάδων ὑπέθετο
to-the Argonauts and about the Clashing advised
πετρῶν τῶν κατὰ θάλασσαν. ἦσαν δὲ ὑπερμεγέθεις αὗται,
Rocks the-ones in sea were and huge these
συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας
clashing and with-one-another by the of-the winds force
τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. ἐφέρετο δὲ πολλὴ μὲν
the through sea passage closed was-borne and much indeed
ὑπὲρ αὐτῶν ὁμίχλη πολὺς δὲ πάταγος, ἦν δὲ ἀδύνατον καὶ
over them mist much and din it-was and impossible even
τοῖς πετεινοῖς δι' αὐτῶν διελθεῖν. εἶπεν οὖν αὐτοῖς ἀφεῖναι
for-the birds through them to-pass he-told then them to-let-go
πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι
a-dove through the rocks and this if indeed they-see
σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας, ἐὰν δὲ ἀπολομένην,
saved to-sail-through despising if and perished
μὴ πλεῖν βιάζεσθαι. ταῦτα ἀκούσαντες ἀνήγοντο, καὶ ὡς
not to-sail to-force these having-heard they-put-to-sea and when

υἱούς, παλαίειν προκαλουμένους κατὰ τὴν πάλην ἀπέκτεινε.
sons to-wrestle challenging in the wrestling killed
κομίσας δὲ τὸν ζωστῆρα εἰς Μυκήνας ἔδωκεν Εὐρυσθεῖ.
having-brought and the belt to Mycenae gave to-Eurystheus
δέκατον ἐπετάγη ἆθλον τὰς Γηρυόνου βόας ἐξ Ἐρυθείας
tenth was-ordered labor the of-Geryon kine from Erythia
κομίζειν. Ἐρύθεια δὲ ἦν Ὠκεανοῦ πλησίον κειμένη νῆσος, ἣ
to-bring Erythia and was of-Ocean near lying island which
νῦν Γάδειρα καλεῖται. ταύτην κατῴκει Γηρυόνης Χρυσάορος
now Gadira is-called this inhabited Geryon son-of-Chrysaor
καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ, τριῶν ἔχων ἀνδρῶν
and of-Callirrhoe the daughter-of-Ocean of-three having men
συμφυὲς σῶμα, συνηγμένον εἰς ἓν κατὰ τὴν γαστέρα,
grown-together body joined into one at the belly
ἐσχισμένον δὲ εἰς τρεῖς ἀπὸ λαγόνων τε καὶ μηρῶν. εἶχε
split and into three from flanks both and thighs he-had
δὲ φοινικᾶς βόας, ὧν ἦν βουκόλος Εὐρυτίων, φύλαξ
and red kine of-which was herdsman Eurytion guard
δὲ Ὄρθος ὁ κύων δικέφαλος ἐξ Ἐχίδνης καὶ Τυφῶνος
and Orthus the hound two-headed from Echidna and Typhon
γεγεννημένος. πορευόμενος οὖν ἐπὶ τὰς Γηρυόνου βόας
begotten journeying then for the of-Geryon kine
διὰ τῆς Εὐρώπης, ἄγρια πολλὰ ζῷα ἀνελὼν Λιβύης
through — Europe wild many animals having-destroyed Libya
ἐπέβαινε, καὶ παρελθὼν Ταρτησσὸν ἔστησε σημεῖα τῆς
he-entered and having-passed Tartessus set-up tokens of-the
πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους
journey on the boundaries of-Europe and Libya opposite
δύο στήλας. θερόμενος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν,
two pillars being-heated and by Sun on the journey
τὸ τόξον ἐπὶ τὸν θεὸν ἐνέτεινεν· ὁ δὲ τὴν ἀνδρείαν αὐτοῦ
the bow at the god he-bent he and the manhood his

θαυμάσας χρύσεον ἔδωκε δέπας, ἐν ᾧ τὸν Ὠκεανὸν
having-admired a-golden gave goblet in which the Ocean
διεπέρασε. καὶ παραγενόμενος εἰς Ἐρύθειαν ἐν ὄρει
he-crossed and having-come to Erythia on mountain
Ἄβαντι αὐλίζεται. αἰσθόμενος δὲ ὁ κύων ἐπ᾽ αὐτὸν ὥρμα·
Abas he-lodges having-perceived and the dog at him rushed
ὁ δὲ καὶ τοῦτον τῷ ῥοπάλῳ παίει, καὶ τὸν βουκόλον
he and also it with-the club strikes and the herdsman
Εὐρυτίωνα τῷ κυνὶ βοηθοῦντα ἀπέκτεινε. Μενοίτης δὲ ἐκεῖ
Eurytion the dog helping killed Menoetes and there
τὰς Ἅιδου βόας βόσκων Γηρυόνῃ τὸ γεγονὸς ἀπήγγειλεν.
the of-Hades kine pasturing to-Geryon the happening reported
ὁ δὲ καταλαβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα τὰς
he and having-overtaken Heracles beside river Anthemus the
βόας ἀπάγοντα, συστησάμενος μάχην τοξευθεὶς ἀπέθανεν.
kine driving-away having-joined battle shot died
Ἡρακλῆς δὲ ἐνθέμενος τὰς βόας εἰς τὸ δέπας καὶ
Heracles and having-put the kine into the goblet and
διαπλεύσας εἰς Ταρτησσὸν Ἡλίῳ πάλιν ἀπέδωκε τὸ δέπας.
having-sailed to Tartessus to-Sun back gave the goblet
διελθὼν δὲ Ἀβδηρίαν εἰς Λιγυστίνην ἦλθεν, ἐν ᾗ τὰς
having-passed and Abderia to Liguria he-came in which the
βόας ἀφῃροῦντο Ἰαλεβίων τε καὶ Δέρκυνος οἱ Ποσειδῶνος
kine tried-to-take-away Ialebion both and Dercynus the of-Poseidon
υἱοί, οὓς κτείνας διὰ Τυρρηνίας ᾔει. ἀπὸ Ῥηγίου δὲ
sons whom having-killed through Tyrrhenia he-went from Rhegium and
εἷς ἀπορρήγνυσι ταῦρος, καὶ ταχέως εἰς τὴν θάλασσαν
one breaks-away bull and quickly into the sea
ἐμπεσὼν καὶ διανηξάμενος εἰς Σικελίαν, καὶ τὴν πλησίον
having-plunged and having-swum to Sicily and the neighboring
χώραν διελθὼν ἦλθεν εἰς πεδίον Ἔρυκος, ὃς ἐβασίλευεν
land having-passed came to plain of-Eryx who reigned

Ἐλύμων. Ἔρυξ δὲ ἦν Ποσειδῶνος παῖς, ὃς τὸν ταῦρον
over-Elymi Eryx and was of-Poseidon son who the bull
ταῖς ἰδίαις συγκατέμιξεν ἀγέλαις. παραθέμενος οὖν τὰς
with-the own mixed herds having-deposited then the
βόας Ἡρακλῆς Ἡφαίστῳ ἐπὶ τὴν αὐτοῦ ζήτησιν ἠπείγετο·
kine Heracles with-Hephaestus on the its search hastened
εὑρὼν δὲ ἐν ταῖς τοῦ Ἔρυκος ἀγέλαις, λέγοντος οὐ
having-found and in the — of-Eryx herds saying not
δώσειν ἂν μὴ παλαίσας αὐτοῦ περιγένηται, τρὶς
to-be-going-to-give if not having-wrestled him he-overcome thrice
περιγενόμενος κατὰ τὴν πάλην ἀπέκτεινε, καὶ τὸν ταῦρον
having-overcome in the wrestling he-killed and the bull
λαβὼν μετὰ τῶν ἄλλων ἐπὶ τὸν Ἰόνιον ἤλαυνε πόντον. ὡς
having-taken with the others to the Ionian drove sea when
δὲ ἦλθεν ἐπὶ τοὺς μυχοὺς τοῦ πόντου, ταῖς βουσὶν οἶστρον
and he-came to the recesses of-the sea on-the kine a-gadfly
ἐνέβαλεν ἡ Ἥρα, καὶ σχίζονται κατὰ τὰς τῆς Θράκης
cast — Hera and they-scatter along the — of-Thrace
ὑπωρείας· ὁ δὲ διώξας τὰς μὲν συλλαβὼν ἐπὶ τὸν
foothills he and having-pursued the-ones indeed having-caught to —
Ἑλλήσποντον ἤγαγεν, αἱ δὲ ἀπολειφθεῖσαι τὸ λοιπὸν
Hellespont brought the-others and left-behind the thenceforth
ἦσαν ἄγριαι. μόλις δὲ τῶν βοῶν συνελθουσῶν Στρυμόνα
were wild with-difficulty and the kine having-come-together Strymon
μεμψάμενος τὸν ποταμόν, πάλαι τὸ ῥεῖθρον πλωτὸν
having-blamed the river formerly the stream navigable
ὂν ἐμπλήσας πέτραις ἄπλωτον ἐποίησε, καὶ τὰς βόας
being having-filled with-rocks unnavigable made and the kine
Εὐρυσθεῖ κομίσας δέδωκεν. ὁ δὲ αὐτὰς κατέθυσεν Ἥρᾳ.
to-Eurystheus having-brought gave he and them sacrificed to-Hera

11 τελεσθέντων δὲ τῶν ἄθλων ἐν μηνὶ καὶ ἔτεσιν ὀκτώ,
accomplished and the labors in month and years eight
μὴ προσδεξάμενος Εὐρυσθεὺς τόν τε τῶν τοῦ Αὐγέου
not having-admitted Eurystheus the both of-the — of-Augeas
βοσκημάτων καὶ τὸν τῆς ὕδρας, ἐνδέκατον ἐπέταξεν ἆθλον
cattle and the of-the hydra eleventh he-ordered labor
παρ' Ἑσπερίδων χρύσεα μῆλα κομίζειν. ταῦτα δὲ ἦν, οὐχ
from Hesperides golden apples to-bring these and were not
ὥς τινες εἶπον ἐν Λιβύῃ, ἀλλ' ἐπὶ τοῦ Ἄτλαντος ἐν
as some said in Libya but on — Atlas among
Ὑπερβορέοις· ἃ Διὶ Γῆ γήμαντι Ἥραν ἐδωρήσατο.
Hyperboreans which to-Zeus Earth having-married Hera gave
ἐφύλασσε δὲ αὐτὰ δράκων ἀθάνατος, Τυφῶνος καὶ Ἐχίδνης,
guarded and them a-dragon immortal of-Typhon and of-Echidna
κεφαλὰς ἔχων ἑκατόν· ἐχρῆτο δὲ φωναῖς παντοίαις καὶ
heads having hundred it-used and voices all-kinds and
ποικίλαις. μετὰ τούτου δὲ Ἑσπερίδες ἐφύλαττον, Αἴγλη
various with this and Hesperides guarded Aegle
Ἐρύθεια Ἑσπερία Ἀρέθουσα. πορευόμενος οὖν ἐπὶ ποταμὸν
Erythia Hesperia Arethusa journeying then to river
Ἐχέδωρον ἦκε. Κύκνος δὲ Ἄρεος καὶ Πυρήνης εἰς
Echedorus he-came Cycnus and of-Ares and of-Pyrene to
μονομαχίαν αὐτὸν προεκαλεῖτο. Ἄρεος δὲ τοῦτον ἐκδικοῦντος
single-combat him challenged Ares and him avenging
καὶ συνιστάντος μονομαχίαν, βληθεὶς κεραυνὸς
and arranging single-combat having-been-hurled a-thunderbolt
μέσος ἀμφοτέρων διαλύει τὴν μάχην. βαδίζων δὲ δι'
midway-between both parts the fight walking and through
Ἰλλυριῶν, καὶ σπεύδων ἐπὶ ποταμὸν Ἠριδανόν, ἦκε πρὸς
Illyrians and hastening to river Eridanus he-came to
νύμφας Διὸς καὶ Θέμιδος. αὗται μηνύουσιν αὐτῷ Νηρέα.
nymphs of-Zeus and of-Themis they reveal to-him Nereus

συλλαβὼν δὲ αὐτὸν κοιμώμενον καὶ παντοίας ἐναλλάσσοντα
having-seized and him asleep and all-kinds changing
μορφὰς ἔδησε, καὶ οὐκ ἔλυσε πρὶν ἢ μαθεῖν παρ᾽ αὐτοῦ ποῦ
shapes he-bound and not loosed before than to-learn from him where
τυγχάνοιεν τὰ μῆλα καὶ αἱ Ἑσπερίδες. μαθὼν δὲ Λιβύην
might-be the apples and the Hesperides having-learned and Libya
διεξῄει. ταύτης ἐβασίλευε παῖς Ποσειδῶνος Ἀνταῖος, ὃς
he-traversed this ruled son of-Poseidon Antaeus who
τοὺς ξένους ἀναγκάζων παλαίειν ἀνῄρει. τούτῳ παλαίειν
the strangers compelling to-wrestle killed with-him to-wrestle
ἀναγκαζόμενος Ἡρακλῆς ἀράμενος ἅμμασι μετέωρον
being-compelled Heracles having-lifted with-hugs aloft
κλάσας ἀπέκτεινε· ψαύοντα γὰρ γῆς ἰσχυρότερον συνέβαινε
having-broken killed touching for earth stronger it-happened
γίνεσθαι, διὸ καὶ Γῆς τινες ἔφασαν τοῦτον εἶναι παῖδα.
to-become wherefore also of-Earth some said him to-be son
μετὰ Λιβύην δὲ Αἴγυπτον διεξῄει. ταύτης ἐβασίλευε Βούσιρις
after Libya and Egypt he-traversed this ruled Busiris
Ποσειδῶνος παῖς καὶ Λυσιανάσσης τῆς Ἐπάφου. οὗτος
of-Poseidon son and of-Lysianassa the daughter-of-Epaphus he
τοὺς ξένους ἔθυεν ἐπὶ βωμῷ Διὸς κατά τι λόγιον·
the strangers sacrificed on altar of-Zeus according-to an oracle
ἐννέα γὰρ ἔτη ἀφορία τὴν Αἴγυπτον κατέλαβε, Φρασίος
nine for years barrenness — Egypt seized Phrasius
δὲ ἐλθὼν ἐκ Κύπρου, μάντις τὴν ἐπιστήμην, ἔφη τὴν
and having-come from Cyprus a-seer the science said the
ἀφορίαν παύσασθαι ἐὰν ξένον ἄνδρα τῷ Διὶ σφάξωσι κατ᾽
barrenness to-cease if stranger man — to-Zeus they-slaughter by
ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶτον σφάξας τὸν μάντιν
year Busiris and him first having-slaughtered the seer
τοὺς κατιόντας ξένους ἔσφαζε. συλληφθεὶς οὖν καὶ Ἡρακλῆς
the arriving strangers slaughtered having-been-seized then also Heracles

τοῖς βωμοῖς προσεφέρετο τὰ δὲ δεσμὰ διαρρήξας τόν τε
to-the altars was-brought the and bonds having-burst the both
Βούσιριν καὶ τὸν ἐκείνου παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε.
Busiris and the his son Amphidamas killed
διεξιὼν δὲ Ἀσίαν Θερμυδραῖς, Λινδίων λιμένι, προσίσχει. καὶ
traversing and Asia at-Thermydrae of-Lindians harbor touches and
βοηλάτου τινὸς λύσας τὸν ἕτερον τῶν ταύρων ἀπὸ τῆς
of-a-cowherd certain having-loosed the one of-the bulls from the
ἁμάξης εὐωχεῖτο θύσας. ὁ δὲ βοηλάτης βοηθεῖν ἑαυτῷ
wagon feasted having-sacrificed the and cowherd to-help himself
μὴ δυνάμενος στὰς ἐπί τινος ὄρους κατηρᾶτο. διὸ καὶ νῦν,
not being-able standing on a mountain cursed wherefore even now
ἐπειδὰν θύωσιν Ἡρακλεῖ, μετὰ καταρῶν τοῦτο πράττουσι.
whenever they-sacrifice to-Heracles with curses this they-do
παριὼν δὲ Ἀραβίαν Ἡμαθίωνα κτείνει παῖδα Τιθωνοῦ. καὶ
passing and Arabia Emathion kills son of-Tithonus and
διὰ τῆς Λιβύης πορευθεὶς ἐπὶ τὴν ἔξω θάλασσαν παρ᾽
through — Libya having-journeyed to the outer sea from
Ἡλίου τὸ δέπας παραλαμβάνει. καὶ περαιωθεὶς ἐπὶ τὴν
Sun the goblet takes-over and having-crossed to the
ἤπειρον τὴν ἀντικρὺ κατετόξευσεν ἐπὶ τοῦ Καυκάσου τὸν
mainland the opposite shot-down on — Caucasus the-one
ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ ἀετόν, ὄντα Ἐχίδνης
eating the — of-Prometheus liver eagle being of-Echidna
καὶ Τυφῶνος· καὶ τὸν Προμηθέα ἔλυσε, δεσμὸν ἑλόμενος
and of-Typhon and — Prometheus released bond having-chosen
τὸν τῆς ἐλαίας, καὶ παρέσχε τῷ Διὶ Χείρωνα θνήσκειν
the of-the olive and provided — to-Zeus Chiron to-die
ἀθάνατον ἀντ᾽ αὐτοῦ θέλοντα.
immortal in-place-of him willing

ὡς δὲ ἦκεν εἰς Ὑπερβορέους πρὸς Ἄτλαντα, εἰπόντος
when and he-came to Hyperboreans to Atlas having-told
Προμηθέως τῷ Ἡρακλεῖ αὐτὸν ἐπὶ τὰ μῆλα μὴ πορεύεσθαι,
Prometheus — to-Heracles himself for the apples not to-go
διαδεξάμενον δὲ Ἄτλαντος τὸν πόλον ἀποστέλλειν ἐκεῖνον,
having-relieved and of-Atlas the sky-vault to-send him
πεισθεὶς διεδέξατο. Ἄτλας δὲ δρεψάμενος παρ' Ἑσπερίδων
persuaded took-over Atlas and having-plucked from Hesperides
τρία μῆλα ἦκε πρὸς Ἡρακλέα. καὶ μὴ βουλόμενος τὸν πόλον
three apples came to Heracles and not wishing the sky-vault
ἔχειν ∗∗∗ καὶ σπεῖραν ἐπὶ τῆς κεφαλῆς θέλειν ποιήσασθαι.
to-hold (lacuna) and a-pad on the head to-wish to-make
τοῦτο ἀκούσας Ἄτλας, ἐπὶ γῆς καταθεὶς τὰ μῆλα τὸν
this having-heard Atlas on earth having-laid the apples the
πόλον διεδέξατο. καὶ οὕτως ἀνελόμενος αὐτὰ Ἡρακλῆς
sky-vault took-over and so having-picked-up them Heracles
ἀπηλλάττετο. ἔνιοι δέ φασιν οὐ παρὰ Ἄτλαντος αὐτὰ λαβεῖν,
departed some but say not from Atlas them to-have-got
ἀλλ' αὐτὸν δρέψασθαι τὰ μῆλα, κτείναντα τὸν φρουροῦντα
but himself to-have-plucked the apples having-killed the guarding
ὄφιν. κομίσας δὲ τὰ μῆλα Εὐρυσθεῖ ἔδωκεν. ὁ δὲ λαβὼν
snake having-brought and the apples to-Eurystheus gave he and having-received
Ἡρακλεῖ ἐδωρήσατο· παρ' οὗ λαβοῦσα Ἀθηνᾶ πάλιν
to-Heracles presented from whom having-received Athena back
αὐτὰ ἀπεκόμισεν· ὅσιον γὰρ οὐκ ἦν αὐτὰ τεθῆναί που.
them carried-away holy for not it-was them to-be-put somewhere
δωδέκατον ἆθλον ἐπετάγη Κέρβερον ἐξ Ἅιδου κομίζειν. 12
twelfth labor was-ordered Cerberus from Hades to-bring
εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν
had and he three indeed of-dogs heads the and tail
δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων εἶχεν ὄφεων
of-a-dragon on and the back of-all-kinds he-had of-snakes

κεφαλάς. μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι ἦλθε πρὸς
heads being-about then for him to-go-away he-came to
Εὔμολπον εἰς Ἐλευσῖνα, βουλόμενος μυηθῆναι. μὴ δυνάμενος
Eumolpus at Eleusis wishing to-be-initiated not being-able
δὲ ἰδεῖν τὰ μυστήρια ἐπείπερ οὐκ ἦν ἡγνισμένος τὸν
and to-see the mysteries since not he-was cleansed-of the
Κενταύρων φόνον, ἁγνισθεὶς ὑπὸ Εὐμόλπου τότε ἐμυήθη.
of-Centaurs slaughter having-been-cleansed by Eumolpus then was-initiated
καὶ παραγενόμενος ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς
and having-come to Taenarum — of-Laconia where the
Ἅιδου καταβάσεως τὸ στόμιόν ἐστι, διὰ τούτου κατῆει.
of-Hades descent the mouth is through this he-went-down
ὁπηνίκα δὲ εἶδον αὐτὸν αἱ ψυχαί, χωρὶς Μελεάγρου καὶ
when and saw him the souls except Meleager and
Μεδούσης τῆς Γοργόνος ἔφυγον. ἐπὶ δὲ τὴν Γοργόνα τὸ
Medusa the Gorgon they-fled at and the Gorgon the
ξίφος ὡς ζῶσαν ἕλκει, καὶ παρὰ Ἑρμοῦ μανθάνει ὅτι κενὸν
sword as living he-draws and from Hermes learns that empty
εἴδωλόν ἐστι. πλησίον δὲ τῶν Ἅιδου πυλῶν γενόμενος
phantom it-is near and the of-Hades gates having-come
Θησέα εὗρε καὶ Πειρίθουν τὸν Περσεφόνης μνηστευόμενον
Theseus he-found and Pirithous the of-Persephone wooing
γάμον καὶ διὰ τοῦτο δεθέντα. θεασάμενοι δὲ Ἡρακλέα τὰς
marriage and for this bound having-beheld and Heracles the
χεῖρας ὤρεγον ὡς ἀναστησόμενοι διὰ τῆς ἐκείνου
hands they-stretched-out as going-to-be-raised through the his
βίας. ὁ δὲ Θησέα μὲν λαβόμενος τῆς χειρὸς ἤγειρε,
might be and Theseus indeed having-taken by-the hand raised
Πειρίθουν δὲ ἀναστῆσαι βουλόμενος τῆς γῆς κινουμένης
Pirithous and to-raise wishing the earth quaking
ἀφῆκεν. ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκαλάφου πέτρον.
let-go he-rolled-away and also the of-Ascalaphus stone

βουλόμενος δὲ αἷμα ταῖς ψυχαῖς παρασχέσθαι, μίαν τῶν
wishing and blood to-the souls to-provide one of-the
Ἅιδου βοῶν ἀπέσφαξεν. ὁ δὲ νέμων αὐτὰς Μενοίτης
of-Hades kine slaughtered the-one and pasturing them Menoetes
ὁ Κευθωνύμου προκαλεσάμενος εἰς πάλην Ἡρακλέα,
the son-of-Ceuthonymus having-challenged to wrestling Heracles
ληφθεὶς μέσος καὶ τὰς πλευρὰς κατεαγεὶς ὑπὸ
having-been-seized round-the-middle and the ribs broken by
Περσεφόνης παρῃτήθη. αἰτοῦντος δὲ αὐτοῦ Πλούτωνα τὸν
Persephone was-begged-off asking and him Pluto —
Κέρβερον, ἐπέταξεν ὁ Πλούτων ἄγειν χωρὶς ὧν εἶχεν
for-Cerberus ordered — Pluto to-lead without what he-had
ὅπλων κρατοῦντα. ὁ δὲ εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις
arms mastering he and having-found him at the gates
τοῦ Ἀχέροντος, τῷ τε θώρακι συμπεφραγμένος καὶ τῇ
— of-Acheron with-the both breastplate covered and with-the
λεοντῇ συσκεπασθείς, περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας οὐκ
lion's-skin wrapped having-flung-round the head the arms not
ἀνῆκε κρατῶν καὶ ἄγχων τὸ θηρίον, ἕως ἔπεισε, καίπερ
let-go mastering and choking the beast until he-persuaded although
δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος. συλλαβὼν
being-bitten by the in the tail dragon having-seized
οὖν αὐτὸν ἦκε διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν.
then it he-came through Troezen having-made the ascent
Ἀσκάλαφον μὲν οὖν Δημήτηρ ἐποίησεν ὦτον, Ἡρακλῆς δὲ
Ascalaphus indeed then Demeter made an-owl Heracles and
Εὐρυσθεῖ δείξας τὸν Κέρβερον πάλιν ἐκόμισεν εἰς Ἅιδου.
to-Eurystheus having-shown — Cerberus back carried to Hades

Heracles gives Megara to Iolaus and competes for Iole, whom her father Eurytus offered to whoever could beat him at archery; he wins, but is refused her. When the cattle of Eurytus are stolen, Iphitus, the one brother who took Heracles' side, comes to him, and Heracles, mad again, throws him from the walls of Tiryns. Diseased for the murder, he asks the Pythian priestess for a cure, and when she refuses he tries to carry off the tripod, fighting Apollo until Zeus parts them with a thunderbolt. Sold by Hermes to Omphale, queen of Lydia, he serves her, binding the Cercopes and killing Syleus, who made strangers dig his vineyard. Freed, he sails against Troy with Telamon, who is first over the wall, and kills Laomedon and his sons, all but Podarces, whom Hesione ransoms with her veil, so that he is called Priam.

1 μετὰ δὲ τοὺς ἄθλους Ἡρακλῆς ἀφικόμενος εἰς Θήβας
after and the labors Heracles having-come to Thebes
Μεγάραν μὲν ἔδωκεν Ἰολάῳ, αὐτὸς δὲ γῆμαι θέλων
Megara indeed gave to-Iolaus himself and to-marry wishing
ἐπυνθάνετο Εὔρυτον Οἰχαλίας δυνάστην ἆθλον προτεθεικέναι
learned Eurytus of-Oechalia prince prize to-have-proposed
τὸν Ἰόλης τῆς θυγατρὸς γάμον τῷ νικήσαντι τοξικῇ
the of-Iole the daughter marriage to-the-one having-vanquished in-archery
αὐτόν τε καὶ τοὺς παῖδας αὐτῷ ὑπάρχοντας. ἀφικόμενος
him both and the sons to-him belonging having-come
οὖν εἰς Οἰχαλίαν καὶ τῇ τοξικῇ κρείττων αὐτῶν γενόμενος
then to Oechalia and in-the archery better than-them having-become
οὐκ ἔτυχε τοῦ γάμου, Ἰφίτου μὲν τοῦ πρεσβυτέρου τῶν
not he-obtained the marriage Iphitus indeed the elder of-the
παίδων λέγοντος διδόναι τῷ Ἡρακλεῖ τὴν Ἰόλην, Εὐρύτου
sons saying to-give — to-Heracles — Iole Eurytus
δὲ καὶ τῶν λοιπῶν ἀπαγορευόντων καὶ δεδοικέναι λεγόντων
and and the rest refusing and to-fear saying
μὴ τεκνοποιησάμενος τὰ γεννηθησόμενα πάλιν ἀποκτείνῃ.
lest having-begotten-children the-ones going-to-be-born again he-should-kill

μετ᾽ οὐ πολὺ δὲ κλαπεισῶν ἐξ Εὐβοίας ὑπὸ Αὐτολύκου 2
after not long and having-been-stolen from Euboea by Autolycus
βοῶν, Εὔρυτος μὲν ἐνόμιζεν ὑφ᾽ Ἡρακλέους γεγονέναι
cattle Eurytus indeed thought by Heracles to-have-been-done
τοῦτο, Ἴφιτος δὲ ἀπιστῶν ἀφικνεῖται πρὸς Ἡρακλέα,
this Iphitus and disbelieving comes to Heracles
καὶ συντυχὼν ἥκοντι ἐκ Φερῶν αὐτῷ, σεσωκότι τὴν
and having-met having-come from Pherae him having-saved the
ἀποθανοῦσαν Ἄλκηστιν Ἀδμήτῳ, παρακαλεῖ συζητῆσαι
dead Alcestis for-Admetus calls-on-him to-seek-with-him
τὰς βόας. Ἡρακλῆς δὲ ὑπισχνεῖται· καὶ ξενίζει μὲν αὐτόν,
the kine Heracles and promises and entertains indeed him
μανεὶς δὲ αὖθις ἀπὸ τῶν Τιρυνθίων ἔρριψεν αὐτὸν
having-gone-mad and again from the of-Tirynthians threw him
τειχῶν. καθαρθῆναι δὲ θέλων τὸν φόνον ἀφικνεῖται πρὸς
walls to-be-purified and wishing the murder he-comes to
Νηλέα· Πυλίων ἦν οὗτος δυνάστης. ἀπωσαμένου δὲ Νηλέως
Neleus of-Pylians was he prince having-repulsed and Neleus
αὐτὸν διὰ τὴν πρὸς Εὔρυτον φιλίαν, εἰς Ἀμύκλας
him because-of the with Eurytus friendship to Amyclae
παραγενόμενος ὑπὸ Δηιφόβου τοῦ Ἱππολύτου καθαίρεται.
having-come by Deiphobus the son-of-Hippolytus he-is-purified
κατασχεθεὶς δὲ δεινῇ νόσῳ διὰ τὸν Ἰφίτου φόνον, εἰς
having-been-seized and by-dire disease because-of the of-Iphitus murder to
Δελφοὺς παραγενόμενος ἀπαλλαγὴν ἐπυνθάνετο τῆς νόσου.
Delphi having-come riddance inquired of-the disease
μὴ χρησμῳδούσης δὲ αὐτῷ τῆς Πυθίας τόν τε ναὸν
not giving-oracle and to-him the Pythian-priestess the both temple
συλᾶν ἤθελε, καὶ τὸν τρίποδα βαστάσας κατασκευάζειν
to-plunder he-wished and the tripod having-carried-off to-set-up
μαντεῖον ἴδιον. μαχομένου δὲ αὐτῷ Ἀπόλλωνος, ὁ Ζεὺς ἵησι
an-oracle own fighting and with-him Apollo — Zeus hurls

μέσον αὐτῶν κεραυνόν. καὶ τοῦτον διαλυθέντων τὸν τρόπον,
between them a-thunderbolt and this having-been-parted the way
λαμβάνει χρησμὸν Ἡρακλῆς, ὃς ἔλεγεν ἀπαλλαγὴν αὐτῷ
receives an-oracle Heracles which said riddance to-him
τῆς νόσου ἔσεσθαι πραθέντι καὶ τρία ἔτη λατρεύσαντι
of-the disease to-be-going-to-be having-been-sold and three years having-served
καὶ δόντι ποινὴν τοῦ φόνου τὴν τιμὴν Εὐρύτῳ.
and having-given as-penalty for-the murder the price to-Eurytus
3 τοῦ δὲ χρησμοῦ δοθέντος Ἑρμῆς Ἡρακλέα πιπράσκει·
the and oracle having-been-given Hermes Heracles sells
καὶ αὐτὸν ὠνεῖται Ὀμφάλη Ἰαρδάνου, βασιλεύουσα
and him buys Omphale daughter-of-Iardanes reigning-over
Λυδῶν, ᾗ τὴν ἡγεμονίαν τελευτῶν ὁ γήμας
Lydians to-whom the government dying the-one having-married
Τμῶλος κατέλιπε. τὴν μὲν οὖν τιμὴν κομισθεῖσαν Εὔρυτος
Tmolus left the indeed then price brought Eurytus
οὐ προσεδέξατο, Ἡρακλῆς δὲ Ὀμφάλῃ δουλεύων τοὺς μὲν
not accepted Heracles and to-Omphale being-a-slave the indeed
περὶ τὴν Ἔφεσον Κέρκωπας συλλαβὼν ἔδησε, Συλέα δὲ
about — Ephesus Cercopes having-seized bound Syleus and
ἐν Αὐλίδι τοὺς παριόντας ξένους σκάπτειν ἀναγκάζοντα,
in Aulis the passing strangers to-dig compelling
σὺν ταῖς ῥίζαις τὰς ἀμπέλους καύσας μετὰ τῆς θυγατρὸς
with the roots the vines having-burned with the daughter
Ξενοδόκης ἀπέκτεινε. καὶ προσσχὼν νήσῳ Δολίχῃ, τὸ
Xenodoce he-killed and having-touched at-island Doliche the
Ἰκάρου σῶμα ἰδὼν τοῖς αἰγιαλοῖς προσφερόμενον
of-Icarus body having-seen to-the beaches being-borne
ἔθαψε, καὶ τὴν νῆσον ἀντὶ Δολίχης Ἰκαρίαν ἐκάλεσεν.
he-buried and the island instead-of Doliche Icaria called
ἀντὶ τούτου Δαίδαλος ἐν Πίσῃ εἰκόνα παραπλησίαν
in-return-for this Daedalus at Pisa an-image like

κατεσκεύασεν Ἡρακλεῖ· ἣν νυκτὸς ἀγνοήσας Ἡρακλῆς
made to-Heracles which by-night not-knowing Heracles
λίθῳ βαλὼν ὡς ἔμπνουν ἔπληξε. καθ' ὃν δὲ χρόνον
with-a-stone having-thrown as alive struck in which and time
ἐλάτρευε παρ' Ὀμφάλῃ, λέγεται τὸν ἐπὶ Κόλχους πλοῦν
he-was-serving with Omphale it-is-said the to Colchians voyage
γενέσθαι καὶ τὴν τοῦ Καλυδωνίου κάπρου θήραν, καὶ
to-have-taken-place and the of-the Calydonian boar hunt and
Θησέα παραγενόμενον ἐκ Τροιζῆνος τὸν Ἰσθμὸν καθᾶραι.
Theseus having-come from Troezen the Isthmus to-have-cleared
μετὰ δὲ τὴν λατρείαν ἀπαλλαγεὶς τῆς νόσου ἐπὶ 4
after and the servitude rid of-the disease against
Ἴλιον ἔπλει πεντηκοντόροις ὀκτωκαίδεκα, συναθροίσας
Ilium he-sailed with-fifty-oared-ships eighteen having-gathered
στρατὸν ἀνδρῶν ἀρίστων ἑκουσίως θελόντων στρατεύεσθαι.
an-army of-men best voluntarily wishing to-serve
καταπλεύσας δὲ εἰς Ἴλιον τὴν μὲν τῶν νεῶν φυλακὴν
having-sailed and to Ilium the indeed of-the ships guard
Ὀικλεῖ κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν ἄλλων ἀριστέων
to-Oicles he-left himself and with the other chiefs
ὥρμα ἐπὶ τὴν πόλιν. παραγενόμενος δὲ ἐπὶ τὰς ναῦς σὺν
rushed against the city having-come and on the ships with
τῷ πλήθει Λαομέδων Ὀικλέα μὲν ἀπέκτεινε μαχόμενον,
the multitude Laomedon Oicles indeed killed fighting
ἀπελασθεὶς δὲ ὑπὸ τῶν μετὰ Ἡρακλέους ἐπολιορκεῖτο.
having-been-driven-off and by the-ones with Heracles was-besieged
τῆς δὲ πολιορκίας ἐνεστώσης ῥήξας τὸ τεῖχος
of-the and siege being-in-progress having-breached the wall
Τελαμὼν πρῶτος εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ μετὰ τοῦτον
Telamon first entered into the city and after him
Ἡρακλῆς. ὡς δὲ ἐθεάσατο Τελαμῶνα πρῶτον εἰσεληλυθότα,
Heracles when and he-beheld Telamon first having-entered

σπασάμενος τὸ ξίφος ἐπ᾽ αὐτὸν ὥρμα, μηδένα θέλων
having-drawn the sword at him he-rushed no-one wishing
ἑαυτοῦ κρείττονα νομίζεσθαι. συνιδὼν δὲ τοῦτο Τελαμὼν
than-himself better to-be-thought having-perceived and this Telamon
λίθους πλησίον κειμένους συνήθροιζε, τοῦ δὲ ἐρομένου τί
stones near lying collected-together him and having-asked what
πράττοι βωμὸν εἶπεν Ἡρακλέους κατασκευάζειν καλλινίκου.
he-was-doing an-altar he-said of-Heracles to-build Glorious-Victor
ὁ δὲ ἐπαινέσας, ὡς εἶλε τὴν πόλιν, κατατοξεύσας
he and having-praised when he-took the city having-shot-down
Λαομέδοντα καὶ τοὺς παῖδας αὐτοῦ χωρὶς Ποδάρκου,
Laomedon and the sons his except Podarces
Τελαμῶνι ἀριστεῖον Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα
to-Telamon as-prize Hesione the of-Laomedon daughter
δίδωσι, καὶ ταύτῃ συγχωρεῖ τῶν αἰχμαλώτων ὃν ἤθελεν
gives and to-her allows of-the captives whom she-wished
ἄγεσθαι. τῆς δὲ αἱρουμένης τὸν ἀδελφὸν Ποδάρκην,
to-take her and choosing the brother Podarces
ἔφη δεῖν πρῶτον αὐτὸν δοῦλον γενέσθαι, καὶ τότε
he-said to-be-necessary first him slave to-become and then
τί ποτε δοῦσαν ἀντ᾽ αὐτοῦ λαβεῖν αὐτόν. ἡ δὲ
something — having-given in-return-for him to-take him she and
πιπρασκομένου τὴν καλύπτραν ἀφελομένη τῆς κεφαλῆς
being-sold the veil having-taken-off from-the head
ἀντέδωκεν· ὅθεν Ποδάρκης Πρίαμος ἐκλήθη.
gave-in-exchange whence Podarces Priam was-called

Driven by a storm Hera sends, Heracles takes Cos, then fights for the gods against the giants at Phlegra. He marches on Augeas and, after the Moliones defeat his army, kills them from ambush and takes Elis; he founds the Olympic games, sacks Pylos, and kills Hippocoon and his sons at Sparta. At Tegea he seduces Auge, who bears Telephus. He wrestles the river Achelous for Deianira and wins her. At the river Evenus the centaur Nessus assaults her, and Heracles shoots him; dying, Nessus tells her to keep his blood as a love charm. When Heracles sacks Oechalia and takes Iole, Deianira sends him a robe smeared with the blood, which burns his flesh; she hangs herself, and he builds a pyre on Oeta, ascends into heaven, and marries Hebe. His sons by the daughters of Thespius and by his wives are named.

πλέοντος δὲ ἀπὸ Τροίας Ἡρακλέους Ἥρα χαλεποὺς ἔπεμψε 1
sailing and from Troy Heracles Hera grievous sent
χειμῶνας· ἐφ' οἷς ἀγανακτήσας Ζεὺς ἐκρέμασεν αὐτὴν ἐξ
storms at which having-been-angered Zeus hung her from
Ὀλύμπου. προσέπλει δὲ Ἡρακλῆς τῇ Κῷ· καὶ νομίσαντες
Olympus sailed-to and Heracles — Cos and having-thought
αὐτὸν οἱ Κῷοι λῃστρικὸν ἄγειν στόλον, βάλλοντες λίθοις
him the Coans a-piratical to-bring squadron pelting with-stones
προσπλεῖν ἐκώλυον. ὁ δὲ βιασάμενος αὐτὴν νυκτὸς
to-sail-up tried-to-prevent he and having-forced-his-way it by-night
εἷλε, καὶ τὸν βασιλέα Εὐρύπυλον, Ἀστυπαλαίας παῖδα
took and the king Eurypylus of-Astypalaea son
καὶ Ποσειδῶνος, ἔκτεινεν. ἐτρώθη δὲ κατὰ τὴν μάχην
and of-Poseidon killed was-wounded and in the battle
Ἡρακλῆς ὑπὸ Χαλκώδοντος, καὶ Διὸς ἐξαρπάσαντος αὐτὸν
Heracles by Chalcodon and Zeus having-snatched-away him
οὐδὲν ἔπαθε. πορθήσας δὲ Κῶ ἦκε δι' Ἀθηνᾶς εἰς
nothing he-suffered having-sacked and Cos he-came through Athena to
Φλέγραν, καὶ μετὰ θεῶν κατεπολέμησε Γίγαντας.
Phlegra and with gods warred-down Giants

2 μετ᾽ οὐ πολὺ δὲ ἐπ᾽ Αὐγείαν ἐστρατεύετο, συναθροίσας
after not long and against Augeas he-marched having-gathered
Ἀρκαδικὸν στρατὸν καὶ παραλαβὼν ἐθελοντὰς τῶν ἀπὸ
an-Arcadian army and having-taken volunteers of-the from
τῆς Ἑλλάδος ἀριστέων. Αὐγείας δὲ τὸν ἀφ᾽ Ἡρακλέους
— Greece chiefs Augeas and the from Heracles
πόλεμον ἀκούων κατέστησεν Ἠλείων στρατηγοὺς Εὔρυτον
war hearing appointed of-Eleans generals Eurytus
καὶ Κτέατον συμφυεῖς, οἳ δυνάμει τοὺς τότε ἀνθρώπους
and Cteatus grown-together who in-strength the then men
ὑπερέβαλλον, παῖδες δὲ ἦσαν Μολιόνης καὶ Ἄκτορος,
surpassed sons and were of-Molione and Actor
ἐλέγοντο δὲ Ποσειδῶνος· Ἄκτωρ δὲ ἀδελφὸς ἦν Αὐγείου.
were-said but of-Poseidon Actor and brother was of-Augeas
συνέβη δὲ Ἡρακλεῖ κατὰ τὴν στρατείαν νοσῆσαι· διὰ τοῦτο
it-happened and to-Heracles on the expedition to-fall-sick for this
καὶ σπονδὰς πρὸς τοὺς Μολιονίδας ἐποιήσατο. οἱ δὲ ὕστερον
also a-truce with the Moliones he-made they and later
ἐπιγνόντες αὐτὸν νοσοῦντα, ἐπιτίθενται τῷ στρατεύματι καὶ
having-learned him sick attack the army and
κτείνουσι πολλούς. τότε μὲν οὖν ἀνεχώρησεν Ἡρακλῆς·
kill many then indeed then retired Heracles
αὖθις δὲ τῆς τρίτης ἰσθμιάδος τελουμένης, Ἠλείων
again and of-the third Isthmian-festival being-held Eleans
τοὺς Μολιονίδας πεμψάντων συνθύτας, ἐν Κλεωναῖς
the Moliones having-sent as-fellow-sacrificers at Cleonae
ἐνεδρεύσας τούτους Ἡρακλῆς ἀπέκτεινε, καὶ στρατευσάμενος
having-ambushed these Heracles killed and having-marched
ἐπὶ τὴν Ἦλιν εἷλε τὴν πόλιν. καὶ κτείνας μετὰ τῶν
against — Elis took the city and having-killed with the
παίδων Αὐγείαν κατήγαγε Φυλέα, καὶ τούτῳ τὴν βασιλείαν
sons Augeas restored Phyleus and to-him the kingdom

ἔδωκεν. ἔθηκε δὲ καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα, Πέλοπός
gave he-held and also the Olympic games of-Pelops
τε βωμὸν ἱδρύσατο, καὶ θεῶν δώδεκα βωμοὺς ἓξ ἐδείματο.
both an-altar founded and of-gods twelve altars six he-built
μετὰ δὲ τὴν τῆς Ἤλιδος ἅλωσιν ἐστράτευσεν ἐπὶ 3
after and the — of-Elis capture he-marched against
Πύλον, καὶ τὴν πόλιν ἑλὼν Περικλύμενον κτείνει τὸν
Pylos and the city having-taken Periclymenus kills the
ἀλκιμώτατον τῶν Νηλέως παίδων, ὃς μεταβάλλων τὰς
most-valiant of-the of-Neleus sons who changing the
μορφὰς ἐμάχετο. τὸν δὲ Νηλέα καὶ τοὺς παῖδας αὐτοῦ
shapes fought — and Neleus and the sons his
χωρὶς Νέστορος ἀπέκτεινεν· οὗτος δὲ νέος ὢν παρὰ
except Nestor he-killed he and young being among
Γερηνίοις ἐτρέφετο. κατὰ δὲ τὴν μάχην καὶ Ἅιδην
Gerenians was-being-reared in and the battle also Hades
ἔτρωσε Πυλίοις βοηθοῦντα.
he-wounded Pylians helping
ἑλὼν δὲ τὴν Πύλον ἐστράτευεν ἐπὶ Λακεδαίμονα,
having-taken and — Pylos he-marched against Lacedaemon
μετελθεῖν τοὺς Ἱπποκόωντος παῖδας θέλων· ὠργίζετο μὲν
to-punish the of-Hippocoon sons wishing he-was-angry indeed
γὰρ αὐτοῖς καὶ διότι Νηλεῖ συνεμάχησαν, μᾶλλον δὲ
for at-them both because with-Neleus they-had-fought-alongside more but
ὠργίσθη ὅτι τὸν Λικυμνίου παῖδα ἀπέκτειναν. θεωμένου
he-was-angered because the of-Licymnius son they-killed looking
γὰρ αὐτοῦ τὰ Ἱπποκόωντος βασίλεια, ἐκδραμὼν κύων
for him the of-Hippocoon palace having-run-out a-dog
τῶν Μολοττικῶν ἐπ᾽ αὐτὸν ἐφέρετο· ὁ δὲ βαλὼν λίθον
of-the Molossian at him rushed he and having-thrown a-stone
ἐπέτυχε τοῦ κυνός, ἐκτροχάσαντες δὲ οἱ Ἱπποκοωντίδαι καὶ
hit the dog having-run-out and the Hippocoontids and

τύπτοντες αὐτὸν τοῖς σκυτάλοις ἀπέκτειναν. τὸν δὲ τούτου
beating him with-the cudgels killed the and his
θάνατον ἐκδικῶν στρατιὰν ἐπὶ Λακεδαιμονίους συνήθροιζε.
death avenging an-army against Lacedaemonians he-gathered
καὶ παραγενόμενος εἰς Ἀρκαδίαν ἠξίου Κηφέα μετὰ τῶν
and having-come to Arcadia asked Cepheus with the
παίδων ὧν εἶχεν εἴκοσι συμμαχεῖν. δεδιὼς δὲ Κηφεὺς μὴ
sons whom he-had twenty to-fight-alongside fearing but Cepheus lest
καταλιπόντος αὐτοῦ Τεγέαν Ἀργεῖοι ἐπιστρατεύσωνται, τὴν
having-left him Tegea Argives should-march-against-it the
στρατείαν ἠρνεῖτο. Ἡρακλῆς δὲ παρ᾽ Ἀθηνᾶς λαβὼν ἐν ὑδρίᾳ
expedition refused Heracles and from Athena having-got in a-jar
χαλκῇ βόστρυχον Γοργόνος Στερόπῃ τῇ Κηφέως θυγατρὶ
bronze a-lock of-Gorgon to-Sterope — of-Cepheus daughter
δίδωσιν, εἰπών, ἐὰν ἐπίῃ στρατός, τρὶς ἀνασχούσης ἐκ
gives having-said if approach an-army thrice having-held-up from
τῶν τειχῶν τὸν βόστρυχον καὶ μὴ προϊδούσης τροπὴν
the walls the lock and not having-looked-forward a-rout
τῶν πολεμίων ἔσεσθαι. τούτου γενομένου Κηφεὺς μετὰ
of-the enemies to-be-going-to-be this having-happened Cepheus with
τῶν παίδων ἐστράτευε. καὶ κατὰ τὴν μάχην αὐτός τε καὶ
the sons marched and in the battle himself both and
οἱ παῖδες αὐτοῦ τελευτῶσι, καὶ πρὸς τούτοις Ἰφικλῆς ὁ τοῦ
the sons his die and besides these Iphicles the —
Ἡρακλέους ἀδελφός. Ἡρακλῆς δὲ κτείνας τὸν Ἱπποκόωντα
of-Heracles brother Heracles and having-killed — Hippocoon
καὶ τοὺς παῖδας αὐτοῦ καὶ χειρωσάμενος τὴν πόλιν,
and the sons his and having-subdued the city
Τυνδάρεων καταγαγὼν τὴν βασιλείαν παρέδωκε τούτῳ.
Tyndareus having-restored the kingdom handed-over to-him

παριὼν δὲ Τεγέαν Ἡρακλῆς τὴν Αὔγην Ἀλεοῦ θυγατέρα 4
passing and Tegea Heracles — Auge of-Aleus daughter
οὖσαν ἀγνοῶν ἔφθειρεν. ἡ δὲ τεκοῦσα κρύφα τὸ βρέφος
being not-knowing seduced she and having-borne secretly the babe
κατέθετο ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. λοιμῷ δὲ τῆς χώρας
deposited in the precinct — of-Athena by-pestilence and the land
φθειρομένης, Ἀλεὸς εἰσελθὼν εἰς τὸ τέμενος καὶ ἐρευνήσας
being-wasted Aleus having-entered into the precinct and having-searched
τὰς τῆς θυγατρὸς ὠδῖνας εὗρε. τὸ μὲν οὖν βρέφος
the of-the daughter travail found the indeed then babe
εἰς τὸ Παρθένιον ὄρος ἐξέθετο. καὶ τοῦτο κατὰ θεῶν
on the Parthenian mountain he-exposed and this by of-gods
τινα πρόνοιαν ἐσώθη· θηλὴν μὲν γὰρ ἀρτιτόκος ἔλαφος
some providence was-saved teat indeed for newly-delivered a-doe
ὑπέσχεν αὐτῷ, ποιμένες δὲ ἀνελόμενοι τὸ βρέφος Τήλεφον
offered it shepherds and having-taken-up the babe Telephus
ἐκάλεσαν αὐτό. Αὔγην δὲ ἔδωκε Ναυπλίῳ τῷ Ποσειδῶνος
called it Auge and he-gave to-Nauplius the son-of-Poseidon
ὑπερόριον ἀπεμπολῆσαι. ὁ δὲ Τεύθραντι τῷ Τευθρανίας
beyond-the-border to-sell he and to-Teuthras — of-Teuthrania
ἔδωκεν αὐτὴν δυνάστῃ, κἀκεῖνος γυναῖκα ἐποιήσατο.
gave her prince and-he wife made
παραγενόμενος δὲ Ἡρακλῆς εἰς Καλυδῶνα τὴν Οἰνέως 5
having-come and Heracles to Calydon the of-Oeneus
θυγατέρα Δηιάνειραν ἐμνηστεύετο, καὶ διαπαλαίσας ὑπὲρ
daughter Deianira wooed and having-wrestled for
τῶν γάμων αὐτῆς πρὸς Ἀχελῷον εἰκασμένον ταύρῳ
the marriage her with Achelous likened to-a-bull
περιέκλασε τὸ ἕτερον τῶν κεράτων. καὶ τὴν μὲν
broke-off the one of-the horns and the indeed
Δηιάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει, δοὺς
Deianira marries the and horn Achelous receives having-given

ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν
in-return-for this the — of-Amalthea Amalthea and was
Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δέ, ὡς
of-Haemonius daughter who a-horn had of-a-bull this and as
Φερεκύδης λέγει, δύναμιν εἶχε τοιαύτην ὥστε βρωτὸν ἢ
Pherecydes says power had such that meat or
ποτόν, ὅπερ ἂν εὔξαιτό τις, παρέχειν ἄφθονον.
drink whatever-very — should-pray anyone to-furnish abundant
6 στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θεσπρωτούς,
marches and Heracles with Calydonians against Thesprotians
καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύλας, Ἀστυόχῃ
and a-city having-taken Ephyra which ruled Phylas with-Astyoche
τῇ τούτου θυγατρὶ συνελθὼν πατὴρ Τληπολέμου γίνεται.
the his daughter having-come-together father of-Tlepolemus becomes
διατελῶν δὲ παρ' αὐτοῖς, πέμψας πρὸς Θέσπιον ἑπτὰ μὲν
continuing and with them having-sent to Thespius seven indeed
κατέχειν ἔλεγε παῖδας, τρεῖς δὲ εἰς Θήβας ἀποστέλλειν, τοὺς
to-keep he-told sons three and to Thebes to-send the
δὲ λοιποὺς τεσσαράκοντα πέμπειν εἰς Σαρδὼ τὴν νῆσον
and remaining forty to-send to Sardinia the island
ἐπ' ἀποικίαν. γενομένων δὲ τούτων εὐωχούμενος παρ' Οἰνεῖ
for colony having-happened and these feasting with Oeneus
κονδύλῳ πλήξας ἀπέκτεινεν Ἀρχιτέλους παῖδα Εὔνομον
with-a-knuckle having-struck killed of-Architeles son Eunomus
κατὰ χειρῶν διδόντα· συγγενὴς δὲ Οἰνέως οὗτος. ἀλλ' ὁ μὲν
on hands giving-water kinsman and of-Oeneus he but the indeed
πατὴρ τοῦ παιδός, ἀκουσίως γεγενημένου τοῦ συμβεβηκότος,
father of-the boy involuntarily having-happened the accident
συνεγνωμόνει, Ἡρακλῆς δὲ κατὰ τὸν νόμον τὴν φυγὴν
pardoned Heracles but according-to the law the exile
ὑπομένειν ἤθελε, καὶ διέγνω πρὸς Κήυκα εἰς Τραχῖνα
to-endure wished and resolved to Ceyx at Trachis

ἀπιέναι. ἄγων δὲ Δηιάνειραν ἐπὶ ποταμὸν Εὔηνον ἦκεν,
to-go-away leading and Deianira to river Evenus he-came
ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς παριόντας
at which sitting Nessus the Centaur the passers-by
διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν τὴν πορθμείαν
ferried for-pay saying from gods the ferrying
εἰληφέναι διὰ δικαιοσύνην. αὐτὸς μὲν οὖν Ἡρακλῆς τὸν
to-have-received for righteousness himself indeed then Heracles the
ποταμὸν διέβη, Δηιάνειραν δὲ μισθὸν αἰτηθεὶς ἐπέτρεψε
river crossed Deianira and pay having-been-asked he-entrusted
Νέσσῳ διακομίζειν. ὁ δὲ διαπορθμεύων αὐτὴν ἐπεχείρει
to-Nessus to-carry-over he and ferrying her tried
βιάζεσθαι. τῆς δὲ ἀνακραγούσης αἰσθόμενος Ἡρακλῆς
to-violate her and crying-out having-perceived Heracles
ἐξελθόντα Νέσσον ἐτόξευσεν εἰς τὴν καρδίαν. ὁ δὲ μέλλων
having-come-out Nessus shot into the heart he and being-about
τελευτᾶν προσκαλεσάμενος Δηιάνειραν εἶπεν, εἰ θέλοι
to-die having-called-to-him Deianira said if she-should-wish
φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τόν τε γόνον ὃν ἀφῆκε
a-love-charm for Heracles to-have the both seed which he-let-go
κατὰ τῆς γῆς καὶ τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος
on the earth and the flowing from the wound of-the barb
αἷμα συμμῖξαι, ἡ δὲ ποιήσασα τοῦτο ἐφύλαττε παρ᾽ ἑαυτῇ.
blood to-mix she and having-done this kept with herself
διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, ἀπορῶν 7
going-through and Heracles the of-Dryopes land lacking
τροφῆς, ἀπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος τὸν
food having-met Thiodamas driving-oxen the
ἕτερον τῶν ταύρων λύσας καὶ σφάξας εὐωχήσατο.
one of-the bulls having-loosed and having-slaughtered feasted

ὡς δὲ ἦλθεν εἰς Τραχῖνα πρὸς Κήυκα, ὑποδεχθεὶς ὑπ'
when and he-came to Trachis to Ceyx having-been-received by
αὐτοῦ Δρύοπας κατεπολέμησεν.
him Dryopes he-warred-down
αὖθις δὲ ἐκεῖθεν ὁρμηθεὶς Αἰγιμίῳ βασιλεῖ Δωριέων
again and from-there having-set-out with-Aegimius king of-Dorians
συνεμάχησε· Λαπίθαι γὰρ περὶ γῆς ὅρων ἐπολέμουν
he-fought-alongside Lapiths for about land's boundaries were-warring
αὐτῷ Κορώνου στρατηγοῦντος, ὁ δὲ πολιορκούμενος
on-him Coronus commanding he and being-besieged
ἐπεκαλέσατο τὸν Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς.
called-in — Heracles as-helper for a-share of-the land
βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ ἄλλων,
having-helped and Heracles killed Coronus with also others
καὶ τὴν γῆν ἅπασαν παρέδωκεν ἐλευθέραν αὐτῷ. ἀπέκτεινε
and the land all handed-over free to-him he-killed
δὲ καὶ Λαογόραν μετὰ τῶν τέκνων, βασιλέα Δρυόπων,
and also Laogoras with the children king of-Dryopes
ἐν Ἀπόλλωνος τεμένει δαινύμενον, ὑβριστὴν ὄντα καὶ
in of-Apollo precinct feasting insolent being and
Λαπιθῶν σύμμαχον. παριόντα δὲ Ἴτωνον εἰς μονομαχίαν
of-Lapiths ally passing and Itonus to single-combat
προεκαλέσατο αὐτὸν Κύκνος Ἄρεος καὶ Πελοπίας·
challenged him Cycnus son-of-Ares and of-Pelopia
συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρμένιον
having-engaged and also him he-killed when and to Ormenium
ἦκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς μεθ' ὅπλων οὐκ εἴα
he-came Amyntor him the king with arms not allowed
διέρχεσθαι· κωλυόμενος δὲ παριέναι καὶ τοῦτον ἀπέκτεινεν.
to-pass being-prevented and to-pass also him he-killed

ἀφικόμενος δὲ εἰς Τραχῖνα στρατιὰν ἐπ᾽ Οἰχαλίαν
having-arrived and at Trachis an-army against Oechalia
συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων
gathered Eurytus to-punish wishing fighting-alongside
δὲ αὐτῷ Ἀρκάδων καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος καὶ
and him Arcadians and Malians the-ones from Trachis and
Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν παίδων
Locrians the Epicnemidian having-killed with the sons
Εὔρυτον αἱρεῖ τὴν πόλιν. καὶ θάψας τῶν σὺν
Eurytus takes the city and having-buried of-the-ones with
αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἵππασόν τε
him having-marched the-ones having-died Hippasus both
τὸν Κήυκος καὶ Ἀργεῖον καὶ Μέλανα τοὺς Λικυμνίου
the son-of-Ceyx and Argeus and Melas the of-Licymnius
παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην
sons and having-plundered the city he-led Iole
αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας
captive and having-anchored at-Cenaeum — of-Euboea
ἀκρωτηρίῳ Διὸς Κηναίου βωμὸν ἱδρύσατο. μέλλων δὲ
headland of-Zeus Cenaean an-altar founded being-about and
ἱερουργεῖν εἰς Τραχῖνα Λίχαν τὸν κήρυκα ἔπεμψε λαμπρὰν
to-sacrifice to Trachis Lichas the herald he-sent splendid
ἐσθῆτα οἴσοντα. παρὰ δὲ τούτου τὰ περὶ τὴν Ἰόλην
raiment to-fetch from and him the-things about — Iole
Δηιάνειρα πυθομένη, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον
Deianira having-learned and having-feared lest her more
ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν
he-should-love thinking in-the truths a-love-charm to-be the flowing
αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. ἐνδὺς δὲ
blood of-Nessus with-this the tunic smeared having-put-on and
Ἡρακλῆς ἔθυεν. ὡς δὲ θερμανθέντος τοῦ χιτῶνος ὁ
Heracles sacrificed when and having-been-heated the tunic the

τῆς ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν
of-the hydra poison the skin rotted the indeed Lichas by-the
ποδῶν ἀράμενος κατηκόντισεν ἀπὸ τῆς †Βοιωτίας, τὸν δὲ
feet having-lifted he-hurled from the Boeotia the and
χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι· συναπεσπῶντο
tunic he-tore-off having-grown-to the body were-torn-off
δὲ καὶ αἱ σάρκες αὐτοῦ. τοιαύτῃ συμφορᾷ κατασχεθεὶς
and also the flesh his by-such misfortune held
εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται. Δηιάνειρα δὲ αἰσθομένη
to Trachis on a-ship he-is-carried Deianira and having-perceived
τὸ γεγονὸς ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος
the happening herself hanged Heracles and having-enjoined
Ὕλλῳ, ὃς ἐκ Δηιανείρας ἦν αὐτῷ παῖς πρεσβύτερος,
on-Hyllus who by Deianira was to-him son elder
Ἰόλην ἀνδρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην ὄρος
Iole come-of-age to-marry having-come to Oeta mountain
(ἔστι δὲ τοῦτο Τραχινίων), ἐκεῖ πυρὰν ποιήσας ἐκέλευσεν
is and this of-Trachinians there a-pyre having-made ordered
ἐπιβὰς ὑφάπτειν. μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλοντος,
having-mounted to-kindle no-one and this to-do being-willing
Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων ὑφῆψε. τούτῳ
Poeas passing in search-of flocks kindled to-him
καὶ τὰ τόξα ἐδωρήσατο Ἡρακλῆς. καιομένης δὲ τῆς
also the bow presented Heracles burning and the
πυρᾶς λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς
pyre it-is-said a-cloud having-passed-under with thunder him to
οὐρανὸν ἀναπέμψαι. ἐκεῖθεν δὲ τυχὼν ἀθανασίας καὶ
sky to-have-sent-up thereafter and having-obtained immortality and
διαλλαγεὶς Ἥρᾳ τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν,
having-been-reconciled to-Hera the her daughter Hebe married
ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.
by whom to-him sons Alexiares and Anicetus were-born

ἦσαν δὲ παῖδες αὐτῷ ἐκ μὲν τῶν Θεσπίου θυγατέρων, 8
were and sons to-him by indeed the of-Thespius daughters
Πρόκριδος μὲν Ἀντιλέων καὶ Ἱππεύς (ἡ πρεσβυτάτη γὰρ
of-Procris indeed Antileon and Hippeus the eldest for
διδύμους ἐγέννησε), Πανόπης δὲ Θρεψίππας, Λύσης Εὐμήδης,
twins bore of-Panope and Threpsippas of-Lyse Eumedes
∗∗∗ Κρέων, Ἐπιλάϊδος Ἀστυάναξ, Κέρθης Ἰόβης, Εὐρυβίας
(lacuna) Creon of-Epilais Astyanax of-Certhe Iobes of-Eurybia
Πολύλαος, Πατροῦς Ἀρχέμαχος, Μηλίνης Λαομέδων,
Polylaus of-Patro Archemachus of-Meline Laomedon
Κλυτίππης Εὐρύκαπυς, Εὐρύπυλος Εὐβώτης, Ἀγλαΐης
of-Clytippe Eurycapys Eurypylus of-Eubote of-Aglaia
Ἀντιάδης, Ὀνήσιππος Χρυσηίδος, Ὀρείης Λαομένης, Τέλης
Antiades Onesippus of-Chryseis of-Oria Laomenes Teles
Λυσιδίκης, Ἐντελίδης Μενιππίδος, Ἀνθίππης Ἱπποδρόμος,
of-Lysidice Entelides of-Menippis of-Anthippe Hippodromus
Τελευταγόρας Εὐρυ ∗∗∗, Καπύλος Ἵππωτος, Εὐβοίας
Teleutagoras of-Eury- (lacuna) Capylus Hippotus of-Euboea
Ὄλυμπος, Νίκης Νικόδρομος, Ἀργέλης Κλεόλαος, Ἐξόλης
Olympus of-Nice Nicodromus of-Argele Cleolaus of-Exole
Ἐρύθρας, Ξανθίδος Ὁμόλιππος, Στρατονίκης Ἄτρομος,
Erythras of-Xanthis Homolippus of-Stratonice Atromus
Κελευστάνωρ Ἴφιδος, Λαοθόης Ἄντιφος, Ἀντιόπης Ἀλόπιος,
Celeustanor of-Iphis of-Laothoe Antiphus of-Antiope Alopius
Ἀστυβίης Καλαμήτιδος, Φυληίδος Τίγασις, Αἰσχρηίδος
of-Astybie of-Calametis of-Phyleis Tigasis of-Aeschreis
Λευκώνης, Ἀνθείας ∗∗∗, Εὐρυπύλης Ἀρχέδικος, Δυνάστης
Leucones of-Anthea (lacuna) of-Eurypyle Archedicus Dynastes
Ἐρατοῦς, Ἀσωπίδος Μέντωρ, Ἠώνης Ἀμήστριος, Τιφύσης
of-Erato of-Asopis Mentor of-Eone Amestrius of-Tiphyse
Λυγκαῖος, Ἁλοκράτης Ὀλυμπούσης, Ἑλικωνίδος Φαλίας,
Lyncaeus Halocrates of-Olympusa of-Heliconis Phalias

Ἡσυχείης Οἰστρόβλης, Τερψικράτης Εὐρυόπης, Ἐλαχείας
of-Hesychia Oestrobles of-Terpsicrate Euryopes of-Elachia
Βουλεύς, Ἀντίμαχος Νικίππης, Πάτροκλος Πυρίππης, Νῆφος
Buleus Antimachus of-Nicippe Patroclus of-Pyrippe Nephus
Πραξιθέας, Λυσίππης Ἐράσιππος, Λυκοῦργος Τοξικράτης,
of-Praxithea of-Lysippe Erasippus Lycurgus of-Toxicrate
Βουκόλος Μάρσης, Λεύκιππος Εὐρυτέλης, Ἱπποκράτης
Bucolus of-Marse Leucippus of-Eurytele of-Hippocrate
Ἱππόζυγος. οὗτοι μὲν ἐκ τῶν Θεσπίου θυγατέρων,
Hippozygus these indeed from the of-Thespius daughters
ἐκ δὲ τῶν ἄλλων, Δηιανείρας μὲν τῆς Οἰνέως
from and the others of-Deianira indeed the daughter-of-Oeneus
Ὕλλος Κτήσιππος Γληνὸς Ὀνείτης, ἐκ Μεγάρας δὲ
Hyllus Ctesippus Glenus Onites from Megara and
τῆς Κρέοντος Θηρίμαχος Δηικόων Κρεοντιάδης, ἐξ
the daughter-of-Creon Therimachus Deicoon Creontiades from
Ὀμφάλης δὲ Ἀγέλαος, ὅθεν καὶ τὸ Κροίσου γένος.
Omphale and Agelaus whence also the of-Croesus race
Χαλκιόπης δὲ τῆς Εὐρυπύλου Θετταλός, Ἐπικάστης
of-Chalciope and the daughter-of-Eurypylus Thettalus of-Epicaste
τῆς Αὐγέου Θεστάλος, Παρθενόπης τῆς Στυμφάλου
the daughter-of-Augeas Thestalus of-Parthenope the daughter-of-Stymphalus
Εὐήρης, Αὔγης τῆς Ἀλεοῦ Τήλεφος, Ἀστυόχης τῆς
Eueres of-Auge the daughter-of-Aleus Telephus of-Astyoche the
Φύλαντος Τληπόλεμος, Ἀστυδαμείας τῆς Ἀμύντορος
daughter-of-Phylas Tlepolemus of-Astydamia the daughter-of-Amyntor
Κτήσιππος, Αὐτονόης τῆς Πειρέως Παλαίμων.
Ctesippus of-Autonoe the daughter-of-Pireus Palaemon

Driven from Trachis by Eurystheus, the sons of Heracles flee to Athens, and in the war that follows Hyllus kills Eurystheus and Alcmena gouges out his eyes. Their first attempt on the Peloponnese ends in a plague, and an oracle tells them to wait for the third crop; Hyllus, taking it to mean three years, invades and fails, and Aristomachus fails too. At last Temenus learns that the third crop means the third generation and the narrows the sea strait, and builds a fleet at Naupactus; Aristodemus dies there by a thunderbolt, and Hippotes kills a seer, bringing on the army a famine until Oxylus, the three-eyed man of the oracle, becomes their guide. They kill Tisamenus, son of Orestes, divide the Peloponnese by lot, Cresphontes cheating the others for Messene, and read the omens on the altars. Temenus is murdered by men his sons hire, and Cresphontes is murdered with two of his sons; Polyphontes takes the throne and Merope, and her third son Aepytus kills him.

μεταστάντος δὲ Ἡρακλέους εἰς θεοὺς οἱ παῖδες αὐτοῦ 1
having-departed and Heracles to gods the sons his
φυγόντες Εὐρυσθέα πρὸς Κήυκα παρεγένοντο. ὡς δὲ
having-fled Eurystheus to Ceyx came when and
ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως καὶ πόλεμον
them to-give-up saying Eurystheus and war
ἀπειλοῦντος ἐδεδοίκεσαν, Τραχῖνα καταλιπόντες διὰ τῆς
threatening they-feared Trachis having-left through —
Ἑλλάδος ἔφυγον. διωκόμενοι δὲ ἦλθον εἰς Ἀθήνας, καὶ
Greece fled being-pursued and came to Athens and
καθεσθέντες ἐπὶ τὸν ἐλέου βωμὸν ἠξίουν βοηθεῖσθαι.
having-sat at the of-mercy altar asked to-be-helped
Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐτοὺς πρὸς τὸν Εὐρυσθέα
Athenians and not giving-up them against — Eurystheus
πόλεμον ὑπέστησαν, καὶ τοὺς μὲν παῖδας αὐτοῦ
war undertook and the indeed sons his
Ἀλέξανδρον Ἰφιμέδοντα Εὐρύβιον Μέντορα Περιμήδην
Alexander Iphimedon Eurybius Mentor Perimedes

ἀπέκτειναν· αὐτὸν δὲ Εὐρυσθέα φεύγοντα ἐφ᾽ ἅρματος καὶ
killed himself and Eurystheus fleeing on a-chariot and
πέτρας ἤδη παριππεύοντα Σκειρωνίδας κτείνει διώξας
rocks already riding-past Scironian kills having-pursued
Ὕλλος, καὶ τὴν κεφαλὴν ἀποτεμὼν Ἀλκμήνῃ δίδωσιν·
Hyllus and the head having-cut-off to-Alcmena gives
ἡ δὲ κερκίσι τοὺς ὀφθαλμοὺς ἐξώρυξεν αὐτοῦ.
she and with-weaving-pins the eyes gouged-out his
2 ἀπολομένου δὲ Εὐρυσθέως ἐπὶ Πελοπόννησον ἦλθον οἱ
having-perished and Eurystheus to Peloponnese came the
Ἡρακλεῖδαι, καὶ πάσας εἷλον τὰς πόλεις. ἐνιαυτοῦ δὲ αὐτοῖς
Heraclids and all took the cities a-year and for-them
ἐν τῇ καθόδῳ διαγενομένου φθορὰ πᾶσαν Πελοπόννησον
in the return having-passed plague all Peloponnese
κατέσχε, καὶ ταύτην γενέσθαι χρησμὸς διὰ τοὺς
seized and this to-have-arisen an-oracle because-of the
Ἡρακλείδας ἐδήλου· πρὸ γὰρ τοῦ δέοντος αὐτοὺς κατελθεῖν.
Heraclids showed before for the due-time them to-have-returned
ὅθεν ἀπολιπόντες Πελοπόννησον ἀνεχώρησαν εἰς Μαραθῶνα
whence having-left Peloponnese they-withdrew to Marathon
κἀκεῖ κατῴκουν. Τληπόλεμος οὖν κτείνας οὐχ ἑκὼν
and-there dwelt Tlepolemus then having-killed not willing
Λικύμνιον (τῇ βακτηρίᾳ γὰρ αὐτοῦ θεράποντα πλήσσοντος
Licymnius with-the staff for him servant beating
ὑπέδραμε) πρὶν ἐξελθεῖν αὐτοὺς ἐκ Πελοποννήσου, φεύγων
he-ran-under before to-go-out them from Peloponnese fleeing
μετ᾽ οὐκ ὀλίγων ἦκεν εἰς Ῥόδον, κἀκεῖ κατῴκει. Ὕλλος δὲ
with not few came to Rhodes and-there dwelt Hyllus and
τὴν μὲν Ἰόλην κατὰ τὰς τοῦ πατρὸς ἐντολὰς ἔγημε, τὴν
the indeed Iole according-to the of-the father injunctions married the
δὲ κάθοδον ἐζήτει τοῖς Ἡρακλείδαις κατεργάσασθαι. διὸ
and return sought for-the Heraclids to-effect wherefore

παραγενόμενος εἰς Δελφοὺς ἐπυνθάνετο πῶς ἂν κατέλθοιεν.
having-come to Delphi inquired how — they-might-return
ὁ δὲ θεὸς ἔφησε περιμείναντας τὸν τρίτον καρπὸν
the and god said having-waited for-the third crop
κατέρχεσθαι. νομίσας δὲ Ὕλλος τρίτον καρπὸν λέγεσθαι
to-return having-thought and Hyllus third crop to-be-meant
τὴν τριετίαν, τοσοῦτον περιμείνας χρόνον σὺν τῷ στρατῷ
the three-years so-much having-waited time with the army
κατῄει *** τοῦ Ἡρακλέους ἐπὶ Πελοπόννησον, Τισαμενοῦ
returned (lacuna) — of-Heracles to Peloponnese Tisamenus
τοῦ Ὀρέστου βασιλεύοντος Πελοποννησίων. καὶ γενομένης
the son-of-Orestes reigning over-Peloponnesians and having-taken-place
πάλιν μάχης νικῶσι Πελοποννήσιοι καὶ Ἀριστόμαχος
again battle conquer Peloponnesians and Aristomachus
θνήσκει. ἐπεὶ δὲ ἠνδρώθησαν οἱ παῖδες, ἐχρῶντο περὶ
dies when and had-grown-up the sons they-consulted about
καθόδου. τοῦ θεοῦ δὲ εἰπόντος ὅ τι καὶ τὸ πρότερον,
return the god and having-said what ever also the before
Τήμενος ᾐτιᾶτο λέγων τούτῳ πεισθέντας ἀτυχῆσαι. ὁ
Temenus blamed saying by-this having-been-persuaded to-have-failed the
δὲ θεὸς ἀνεῖλε τῶν ἀτυχημάτων αὐτοὺς αἰτίους εἶναι· τοὺς
and god answered of-the misfortunes them guilty to-be the
γὰρ χρησμοὺς οὐ συμβάλλειν. λέγειν γὰρ οὐ γῆς ἀλλὰ
for oracles not to-interpret to-mean for not of-earth but
9 φανέντων δὲ ὕστερον τῶν λανθανόντων, Ἰοκάστη μὲν
having-come-to-light and later the hidden-things Jocasta indeed
ἐξ ἀγχόνης ἑαυτὴν ἀνήρτησεν, Οἰδίπους δὲ τὰς ὄψεις
from a-noose herself hanged Oedipus and the eyes
τυφλώσας ἐκ Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς παισὶ θέμενος,
having-blinded from Thebes was-driven curses on-the sons having-laid
οἳ τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον θεωροῦντες οὐκ
who from-the city him being-cast-out seeing not
ἐπήμυναν. παραγενόμενος δὲ σὺν Ἀντιγόνῃ τῆς Ἀττικῆς
helped having-come and with Antigone — of-Attica
εἰς Κολωνόν, ἔνθα τὸ τῶν Εὐμενίδων ἐστὶ τέμενος, καθίζει
to Colonus where the of-the Eumenides is precinct sits
ἱκέτης, προσδεχθεὶς ὑπὸ Θησέως, καὶ μετ᾽ οὐ πολὺν
suppliant having-been-received by Theseus and after not long
χρόνον ἀπέθανεν.
time died

Polynices, cheated of his turn at the throne by Eteocles, goes to Argos with the necklace of Harmonia, and Adrastus marries him and Tydeus to his daughters and promises to restore both. Amphiaraus, foreseeing that all but Adrastus will die, refuses to march until his wife Eriphyle, bribed with the necklace, compels him. At Nemea the child Opheltes is killed by a serpent, and the Nemean games are founded for him. Tydeus, as envoy, defeats the Thebans and kills fifty who ambush him. Tiresias prophesies victory if Menoeceus is sacrificed, and he kills himself. Capaneus is thunderbolted on the ladder, the brothers kill each other, Tydeus gulps Melanippus' brain and loses the immortality Athena had brought, Amphiaraus is swallowed by the earth, and Adrastus alone escapes.

Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης περὶ τῆς βασιλείας 1
Eteocles and and Polynices about the kingdom
συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτερον
agree with one-another and to-them it-seems-good the one
παρ' ἐνιαυτὸν ἄρχειν. τινὲς μὲν οὖν λέγουσι πρῶτον
in-turn by-year to-rule some indeed then say first
ἄρξαντα Πολυνείκη παραδοῦναι μετ' ἐνιαυτὸν τὴν βασιλείαν
having-ruled Polynices to-have-handed-over after a-year the kingdom
Ἐτεοκλεῖ, τινὲς δὲ πρῶτον Ἐτεοκλέα ἄρξαντα μὴ βούλεσθαι
to-Eteocles some and first Eteocles having-ruled not to-wish
παραδοῦναι τὴν βασιλείαν. φυγαδευθεὶς οὖν Πολυνείκης ἐκ
to-hand-over the kingdom banished then Polynices from
Θηβῶν ἦκεν εἰς Ἄργος, τόν τε ὅρμον καὶ τὸν πέπλον
Thebes came to Argos the both necklace and the robe
ἔχων. ἐβασίλευε δὲ Ἄργους Ἄδραστος ὁ Ταλαοῦ· καὶ
having reigned and over-Argos Adrastus the son-of-Talaus and
τοῖς τούτου βασιλείοις νύκτωρ προσπελάζει, καὶ συνάπτει
to-the his palace by-night he-approaches and joins
μάχην Τυδεῖ τῷ Οἰνέως φεύγοντι Καλυδῶνα. γενομένης
battle with-Tydeus the son-of-Oeneus fleeing Calydon having-arisen

δὲ ἐξαίφνης βοῆς ἐπιφανεὶς Ἄδραστος διέλυσεν αὐτούς,
and suddenly a-cry having-appeared Adrastus parted them
καὶ μάντεώς τινος ὑπομνησθεὶς λέγοντος αὐτῷ κάπρῳ καὶ
and of-a-seer certain having-remembered telling him to-a-boar and
λέοντι συζεῦξαι τὰς θυγατέρας, ἀμφοτέρους εἵλετο νυμφίους·
to-a-lion to-yoke the daughters both chose as-bridegrooms
εἶχον γὰρ ἐπὶ τῶν ἀσπίδων ὁ μὲν κάπρου προτομὴν
they-had for on the shields the-one indeed of-a-boar fore-part
ὁ δὲ λέοντος. γαμεῖ δὲ Δηιπύλην μὲν Τυδεὺς Ἀργείην
the-other and of-a-lion marries and Deipyle indeed Tydeus Argia
δὲ Πολυνείκης, καὶ αὐτοὺς Ἄδραστος ἀμφοτέρους εἰς τὰς
and Polynices and them Adrastus both to the
πατρίδας ὑπέσχετο κατάξειν. καὶ πρῶτον ἐπὶ Θήβας
fatherlands promised to-be-going-to-restore and first against Thebes
ἔσπευδε στρατεύεσθαι, καὶ τοὺς ἀριστέας συνήθροιζεν.
hastened to-march and the chiefs gathered

2 Ἀμφιάραος δὲ ὁ Ὀικλέους, μάντις ὢν καὶ προειδὼς ὅτι
Amphiaraus but the son-of-Oicles seer being and foreseeing that
δεῖ πάντας τοὺς στρατευσαμένους χωρὶς Ἀδράστου
it-is-necessary all the-ones having-marched except Adrastus
τελευτῆσαι, αὐτός τε ὤκνει στρατεύεσθαι καὶ τοὺς λοιποὺς
to-die himself both shrank to-march and the rest
ἀπέτρεπε. Πολυνείκης δὲ ἀφικόμενος πρὸς Ἴφιν τὸν
dissuaded Polynices and having-come to Iphis the
Ἀλέκτορος ἠξίου μαθεῖν πῶς ἂν Ἀμφιάραος ἀναγκασθείη
son-of-Alector asked to-learn how — Amphiaraus might-be-compelled
στρατεύεσθαι· ὁ δὲ εἶπεν εἰ λάβοι τὸν ὅρμον Ἐριφύλη.
to-march he and said if should-get the necklace Eriphyle
Ἀμφιάραος μὲν οὖν ἀπεῖπεν Ἐριφύλῃ παρὰ Πολυνείκους
Amphiaraus indeed then forbade Eriphyle from Polynices
δῶρα λαμβάνειν, Πολυνείκης δὲ δοὺς αὐτῇ τὸν ὅρμον
gifts to-take Polynices and having-given her the necklace

ἠξίου τὸν Ἀμφιάραον πεῖσαι στρατεύειν. ἦν γὰρ ἐπὶ
asked — Amphiaraus to-persuade to-march it-was for in
ταύτῃ· γενομένης γὰρ †αὐτῆς πρὸς Ἄδραστον, διαλυσάμενος
her having-arisen for her with Adrastus having-been-reconciled
ὤμοσε, περὶ ὧν ἂν Ἀδράστῳ διαφέρηται, διακρίνειν
he-swore about what — with-Adrastus he-should-differ to-decide
Ἐριφύλῃ συγχωρῆσαι. ὅτε οὖν ἐπὶ Θήβας ἔδει
to-Eriphyle to-allow when then against Thebes it-was-necessary
στρατεύειν, Ἀδράστου μὲν παρακαλοῦντος Ἀμφιαράου δὲ
to-march Adrastus indeed exhorting Amphiaraus and
ἀποτρέποντος, Ἐριφύλη τὸν ὅρμον λαβοῦσα ἔπεισεν αὐτὸν
dissuading Eriphyle the necklace having-taken persuaded him
σὺν Ἀδράστῳ στρατεύειν. Ἀμφιάραος δὲ ἀνάγκην ἔχων
with Adrastus to-march Amphiaraus and necessity having
στρατεύεσθαι τοῖς παισὶν ἐντολὰς ἔδωκε τελειωθεῖσι τήν
to-march to-the sons injunctions gave having-grown-up the
τε μητέρα κτείνειν καὶ ἐπὶ Θήβας στρατεύειν.
both mother to-kill and against Thebes to-march
Ἄδραστος δὲ συναθροίσας στρατὸν σὺν ἡγεμόσιν ἑπτὰ 3
Adrastus and having-gathered an-army with chiefs seven
πολεμεῖν ἔσπευδε Θήβας. οἱ δὲ ἡγεμόνες ἦσαν οἵδε·
to-war-on hastened Thebes the and chiefs were these
Ἄδραστος Ταλαοῦ, Ἀμφιάραος Ὀικλέους, Καπανεὺς
Adrastus son-of-Talaus Amphiaraus son-of-Oicles Capaneus
Ἱππονόου, Ἱππομέδων Ἀριστομάχου, οἱ δὲ λέγουσι
son-of-Hipponous Hippomedon son-of-Aristomachus some but say
Ταλαοῦ. οὗτοι μὲν ἐξ Ἄργους, Πολυνείκης δὲ Οἰδίποδος
son-of-Talaus these indeed from Argos Polynices and son-of-Oedipus
ἐκ Θηβῶν, Τυδεὺς Οἰνέως Αἰτωλός, Παρθενοπαῖος
from Thebes Tydeus son-of-Oeneus an-Aetolian Parthenopaeus
Μελανίωνος Ἀρκάς. τινὲς δὲ Τυδέα μὲν καὶ Πολυνείκην
son-of-Melanion an-Arcadian some but Tydeus indeed and Polynices

οὐ καταριθμοῦσι, συγκαταλέγουσι δὲ τοῖς ἑπτὰ Ἐτέοκλον
not reckon they-enumerate-with and the seven Eteoclus
Ἴφιος καὶ Μηκιστέα.
son-of-Iphis and Mecisteus

4 παραγενόμενοι δὲ εἰς Νεμέαν, ἧς ἐβασίλευε Λυκοῦργος,
having-come and to Nemea which ruled Lycurgus
ἐζήτουν ὕδωρ. καὶ αὐτοῖς ἡγήσατο τῆς ἐπὶ κρήνην
they-sought water and them led of-the to spring
ὁδοῦ Ὑψιπύλη, νήπιον παῖδα Ὀφέλτην ἀπολιποῦσα, ὃν
way Hypsipyle infant boy Opheltes having-left whom
ἔτρεφεν Εὐρυδίκης ὄντα καὶ Λυκούργου. αἰσθόμεναι γὰρ
she-nursed of-Eurydice being and of-Lycurgus having-perceived for
αἱ Λήμνιαι ὕστερον Θόαντα σεσωσμένον ἐκεῖνον μὲν
the Lemnian-women later Thoas saved him indeed
ἔκτειναν, τὴν δὲ Ὑψιπύλην ἀπημπόλησαν· διὸ πραθεῖσα
killed the and Hypsipyle sold wherefore having-been-sold
ἐλάτρευε παρὰ Λυκούργῳ. δεικνυούσης δὲ τὴν κρήνην,
she-served with Lycurgus showing and the spring
ὁ παῖς ἀπολειφθεὶς ὑπὸ δράκοντος διαφθείρεται. τὸν μὲν
the boy left-behind by a-serpent is-killed the indeed
οὖν δράκοντα ἐπιφανέντες οἱ μετὰ Ἀδράστου κτείνουσι,
then serpent having-appeared the-ones with Adrastus kill
τὸν δὲ παῖδα θάπτουσιν. Ἀμφιάραος δὲ εἶπεν ἐκείνοις
the and boy bury Amphiaraus but said to-them
τὸ σημεῖον τὰ μέλλοντα προμαντεύεσθαι· τὸν δὲ παῖδα
the sign the future to-forebode the and boy
Ἀρχέμορον ἐκάλεσαν. οἱ δὲ ἔθεσαν ἐπ' αὐτῷ τὸν
Archemorus they-called they and instituted in-honor-of him the
τῶν Νεμέων ἀγῶνα, καὶ ἵππῳ μὲν ἐνίκησεν Ἄδραστος,
of-the Nemean games and with-horse indeed won Adrastus
σταδίῳ δὲ Ἐτέοκλος, πυγμῇ Τυδεύς, ἅλματι καὶ δίσκῳ
in-the-foot-race and Eteoclus in-boxing Tydeus in-jumping and in-quoit

Ἀμφιάραος, ἀκοντίῳ Λαόδοκος, πάλῃ Πολυνείκης, τόξῳ
Amphiaraus in-javelin Laodocus in-wrestling Polynices in-archery
Παρθενοπαῖος.
Parthenopaeus
ὡς δὲ ἦλθον εἰς τὸν Κιθαιρῶνα, πέμπουσι Τυδέα 5
when and they-came to — Cithaeron they-send Tydeus
προεροῦντα Ἐτεοκλεῖ τῆς βασιλείας παραχωρεῖν Πολυνείκει,
going-to-announce to-Eteocles the kingdom to-yield to-Polynices
καθὰ συνέθεντο. μὴ προσέχοντος δὲ Ἐτεοκλέους, διάπειραν
as they-had-agreed not heeding and Eteocles a-test
τῶν Θηβαίων Τυδεὺς ποιούμενος, καθ' ἕνα προκαλούμενος
of-the Thebans Tydeus making by one challenging
πάντων περιεγένετο. οἱ δὲ πεντήκοντα ἄνδρας ὁπλίσαντες
all overcame they and fifty men having-armed
ἀπιόντα ἐνήδρευσαν αὐτόν· πάντας δὲ αὐτοὺς χωρὶς
departing ambushed him all and them except
Μαίονος ἀπέκτεινε, κἄπειτα ἐπὶ τὸ στρατόπεδον ἦλθεν.
Maeon he-killed and-then to the camp came
Ἀργεῖοι δὲ καθοπλισθέντες προσῄεσαν τοῖς τείχεσι, 6
Argives and having-armed approached the walls
καὶ πυλῶν ἑπτὰ οὐσῶν Ἄδραστος μὲν παρὰ τὰς
and of-gates seven being Adrastus indeed at the
Ὁμολωΐδας πύλας ἔστη, Καπανεὺς δὲ παρὰ τὰς Ὠγυγίας,
Homoloidian gates stood Capaneus and at the Ogygian
Ἀμφιάραος δὲ παρὰ τὰς Προιτίδας, Ἱππομέδων δὲ
Amphiaraus and at the Proetidian Hippomedon and
παρὰ τὰς Ὀγκαΐδας, Πολυνείκης δὲ παρὰ τὰς Ὑψίστας,
at the Oncaidian Polynices and at the Hypsistan
Παρθενοπαῖος δὲ παρὰ τὰς Ἠλέκτρας, Τυδεὺς δὲ παρὰ
Parthenopaeus and at the Electran Tydeus and at
τὰς Κρηνίδας. καθώπλισε δὲ καὶ Ἐτεοκλῆς Θηβαίους,
the Crenidian armed and also Eteocles Thebans

καὶ καταστήσας ἡγεμόνας ἴσους ἴσοις ἔταξε, καὶ πῶς
and having-appointed leaders equal to-equal arrayed and how
ἂν περιγένοιντο τῶν πολεμίων ἐμαντεύετο.
— they-might-overcome the enemies consulted-the-seer

7 ἦν δὲ παρὰ Θηβαίοις μάντις Τειρεσίας Εὐήρους καὶ
was and among Thebans a-seer Tiresias son-of-Everes and
Χαρικλοῦς νύμφης, ἀπὸ γένους Οὐδαίου τοῦ Σπαρτοῦ,
of-Chariclo nymph of the-race of-Udaeus the Spartus
γενόμενος τυφλὸς τὰς ὁράσεις. οὗ περὶ τῆς πηρώσεως
having-become blind in-the eyes of-whom about the blinding
καὶ τῆς μαντικῆς λέγονται λόγοι διάφοροι. ἄλλοι μὲν γὰρ
and the prophecy are-told stories different others indeed for
αὐτὸν ὑπὸ θεῶν φασι τυφλωθῆναι, ὅτι τοῖς ἀνθρώποις
him by gods say to-have-been-blinded because to-the men
ἃ κρύπτειν ἤθελον ἐμήνυε, Φερεκύδης δὲ ὑπὸ Ἀθηνᾶς
what to-hide they-wished he-revealed Pherecydes but by Athena
αὐτὸν τυφλωθῆναι· οὖσαν γὰρ τὴν Χαρικλὼ προσφιλῆ τῇ
him to-have-been-blinded being for — Chariclo dear —
Ἀθηνᾷ ∗∗∗ γυμνὴν ἐπὶ πάντα ἰδεῖν, τὴν δὲ ταῖς χερσὶ
to-Athena (lacuna) naked in all to-see she and with-the hands
τοὺς ὀφθαλμοὺς αὐτοῦ καταλαβομένην πηρὸν ποιῆσαι,
the eyes his having-covered blind to-make
Χαρικλοῦς δὲ δεομένης ἀποκαταστῆσαι πάλιν τὰς ὁράσεις,
Chariclo and begging to-restore again the sight
μὴ δυναμένην τοῦτο ποιῆσαι, τὰς ἀκοὰς διακαθάρασαν
not being-able this to-do the ears having-cleansed
πᾶσαν ὀρνίθων φωνὴν ποιῆσαι συνεῖναι, καὶ σκῆπτρον
every of-birds voice to-make to-understand and a-staff
αὐτῷ δωρήσασθαι κράνειον, ὃ φέρων ὁμοίως τοῖς
to-him to-give of-cornel-wood which carrying like the-ones
βλέπουσιν ἐβάδιζεν. Ἡσίοδος δέ φησιν ὅτι θεασάμενος περὶ
seeing he-walked Hesiod but says that having-beheld about

Κυλλήνην ὄφεις συνουσιάζοντας καὶ τούτους τρώσας
Cyllene snakes copulating and these having-wounded
ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις
he-became from a-man a-woman again and the same snakes
παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα
having-watched copulating he-became a-man wherefore Hera
καὶ Ζεὺς ἀμφισβητοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς
and Zeus disputing whether the women or the
ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι,
men to-be-pleased more in the intercourses it-happened
τοῦτον ἀνέκριναν. ὁ δὲ ἔφη δέκα μοιρῶν περὶ τὰς
him they-questioned he and said ten parts about the
συνουσίας οὐσῶν τὴν μὲν μίαν ἄνδρας ἥδεσθαι, τὰς δὲ
intercourses being the indeed one men to-be-pleased the and
ἐννέα γυναῖκας. ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ
nine women whence Hera indeed him blinded Zeus and
τὴν μαντικὴν αὐτῷ ἔδωκεν. ἐγένετο δὲ καὶ πολυχρόνιος.
the prophetic-art to-him gave he-became and also long-lived
οὗτος οὖν Θηβαίοις μαντευομένοις εἶπε νικήσειν, ἐὰν
he then to-Thebans consulting said to-be-going-to-win if
Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὑτὸν ἐπιδῷ. τοῦτο
Menoeceus the son-of-Creon to-Ares as-victim himself give this
ἀκούσας Μενοικεὺς ὁ Κρέοντος ἑαυτὸν πρὸ τῶν πυλῶν
having-heard Menoeceus the son-of-Creon himself before the gates
ἔσφαξε. μάχης δὲ γενομένης οἱ Καδμεῖοι μέχρι τῶν
slew battle and having-taken-place the Cadmeans as-far-as the
τειχῶν συνεδιώχθησαν, καὶ Καπανεὺς ἁρπάσας κλίμακα
walls were-chased and Capaneus having-seized a-ladder
ἐπὶ τὰ τείχη δι' αὐτῆς ἀνῄει, καὶ Ζεὺς αὐτὸν κεραυνοῖ.
to the walls by it ascended and Zeus him thunderstrikes

8 τούτου δὲ γενομένου τροπὴ τῶν Ἀργείων γίνεται. ὡς δὲ
this and having-happened rout of-the Argives occurs when and
ἀπώλλυντο πολλοί, δόξαν ἑκατέροις τοῖς στρατεύμασιν
perished many it-seeming-good to-both the armies
Ἐτεοκλῆς καὶ Πολυνείκης περὶ τῆς βασιλείας μονομαχοῦσι,
Eteocles and Polynices about the kingdom fight-single-combat
καὶ κτείνουσιν ἀλλήλους. καρτερᾶς δὲ πάλιν γενομένης
and kill one-another fierce and again having-arisen
μάχης οἱ Ἀστακοῦ παῖδες ἠρίστευσαν· Ἴσμαρος μὲν γὰρ
battle the of-Astacus sons excelled Ismarus indeed for
Ἱππομέδοντα ἀπέκτεινε, Λεάδης δὲ Ἐτέοκλον, Ἀμφίδικος
Hippomedon killed Leades and Eteoclus Amphidicus
δὲ Παρθενοπαῖον. ὡς δὲ Εὐριπίδης φησί, Παρθενοπαῖον
and Parthenopaeus as but Euripides says Parthenopaeus
ὁ Ποσειδῶνος παῖς Περικλύμενος ἀπέκτεινε. Μελάνιππος
the of-Poseidon son Periclymenus killed Melanippus
δὲ ὁ λοιπὸς τῶν Ἀστακοῦ παίδων εἰς τὴν γαστέρα
and the remaining of-the of-Astacus sons in the belly
Τυδέα τιτρώσκει. ἡμιθνῆτος δὲ αὐτοῦ κειμένου παρὰ Διὸς
Tydeus wounds half-dead and him lying from Zeus
αἰτησαμένη Ἀθηνᾶ φάρμακον ἤνεγκε, δι' οὗ ποιεῖν ἔμελλεν
having-begged Athena a-drug brought by which to-make she-was-going
ἀθάνατον αὐτόν. Ἀμφιάραος δὲ αἰσθόμενος τοῦτο, μισῶν
immortal him Amphiaraus and having-perceived this hating
Τυδέα ὅτι παρὰ τὴν ἐκείνου γνώμην εἰς Θήβας ἔπεισε
Tydeus because against the his judgment to Thebes he-persuaded
τοὺς Ἀργείους στρατεύεσθαι, τὴν Μελανίππου κεφαλὴν
the Argives to-march the of-Melanippus head
ἀποτεμὼν ἔδωκεν αὐτῷ. ὁ δὲ διελὼν τὸν ἐγκέφαλον
having-cut-off gave to-him he and having-split-open the brain
ἐξερρόφησεν. ὡς δὲ εἶδεν Ἀθηνᾶ, μυσαχθεῖσα τὴν εὐεργεσίαν
gulped-down when and saw Athena having-loathed-it the benefaction

ἐπέσχε τε καὶ ἐφθόνησεν. Ἀμφιαράῳ δὲ φεύγοντι παρὰ
withheld both and grudged to-Amphiaraus and fleeing beside
ποταμὸν Ἰσμηνόν, πρὶν ὑπὸ Περικλυμένου τὰ νῶτα τρωθῆ,
river Ismenus before by Periclymenus the back be-wounded
Ζεὺς κεραυνὸν βαλὼν τὴν γῆν διέστησεν. ὁ δὲ σὺν τῷ
Zeus thunderbolt having-hurled the earth parted he and with the
ἅρματι καὶ τῷ ἡνιόχῳ Βάτωνι, ὡς δὲ ἔνιοι Ἐλάτωνι,
chariot and the charioteer Baton as but some Elato
ἐκρύφθη, καὶ Ζεὺς ἀθάνατον αὐτὸν ἐποίησεν. Ἄδραστον
was-hidden and Zeus immortal him made Adrastus
δὲ μόνον ἵππος διέσωσεν Ἀρείων· τοῦτον ἐκ Ποσειδῶνος
and alone a-horse saved Arion this from Poseidon
ἐγέννησε Δημήτηρ εἰκασθεῖσα ἐρινύι κατὰ τὴν συνουσίαν.
bore Demeter likened to-a-Fury at the intercourse

III.7 · THE EPIGONI AND ALCMAEON

Creon forbids the burial of the Argive dead; Antigone buries Polynices and is buried alive, and Theseus, at Adrastus' appeal, takes Thebes and gives the dead to their kin. Ten years later the Epigoni march on Thebes under Alcmaeon, whom Eriphyle, bribed again, persuades to go, and take the city. Alcmaeon kills his mother, is driven mad by her Fury, and is purified first by Phegeus and then by the river Achelous, whose daughter Callirrhoe asks for the necklace and robe. Fetching them back by a trick, Alcmaeon is murdered by Phegeus' sons, and Callirrhoe's sons, grown men overnight by Zeus' gift, avenge him.

Κρέων δὲ τὴν Θηβαίων βασιλείαν παραλαβὼν τοὺς 1
Creon and the of-Thebans kingdom having-received the
τῶν Ἀργείων νεκροὺς ἔρριψεν ἀτάφους, καὶ κηρύξας
of-the Argives dead cast-out unburied and having-proclaimed
μηδένα θάπτειν φύλακας κατέστησεν. Ἀντιγόνη δέ, μία
no-one to-bury guards set Antigone but one

τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα
of-the of-Oedipus daughters secretly the of-Polynices body
κλέψασα ἔθαψε, καὶ φωραθεῖσα ὑπὸ Κρέοντος αὐτοῦ
having-stolen buried and having-been-caught by Creon very
τῷ τάφῳ ζῶσα ἐνεκρύφθη. Ἄδραστος δὲ εἰς Ἀθήνας
in-the tomb alive was-buried Adrastus and to Athens
ἀφικόμενος ἐπὶ τὸν ἐλέου βωμὸν κατέφυγε, καὶ ἱκετηρίαν
having-come at the of-mercy altar took-refuge and suppliant-branch
θεὶς ἠξίου θάπτειν τοὺς νεκρούς. οἱ δὲ Ἀθηναῖοι μετὰ
having-laid asked to-bury the dead the and Athenians with
Θησέως στρατεύσαντες αἱροῦσι Θήβας καὶ τοὺς νεκροὺς
Theseus having-marched take Thebes and the dead
τοῖς οἰκείοις διδόασι θάψαι. τῆς Καπανέως δὲ καιομένης
to-the kinsmen give to-bury the of-Capaneus and burning
πυρᾶς, Εὐάδνη, ἡ Καπανέως μὲν γυνὴ θυγάτηρ δὲ
pyre Evadne the of-Capaneus indeed wife daughter and
Ἴφιος, ἑαυτὴν ἐμβαλοῦσα συγκατεκαίετο.
of-Iphis herself having-thrown-on was-burned-with-him
2 μετὰ δὲ ἔτη δέκα οἱ τῶν ἀπολομένων παῖδες, κληθέντες
after and years ten the of-the perished sons called
ἐπίγονοι, στρατεύειν ἐπὶ Θήβας προῃροῦντο, τὸν
Epigoni to-march against Thebes purposed the
τῶν πατέρων θάνατον τιμωρήσασθαι βουλόμενοι. καὶ
of-the fathers death to-avenge wishing and
μαντευομένοις αὐτοῖς ὁ θεὸς ἐθέσπισε νίκην Ἀλκμαίωνος
consulting-the-oracle to-them the god oracled victory Alcmaeon
ἡγουμένου. ὁ μὲν οὖν Ἀλκμαίων ἡγεῖσθαι τῆς στρατείας
leading — indeed then Alcmaeon to-lead the expedition
οὐ βουλόμενος πρὶν τίσασθαι τὴν μητέρα, ὅμως
not wishing before to-punish the mother nevertheless
στρατεύεται· λαβοῦσα γὰρ Ἐριφύλη παρὰ Θερσάνδρου
marches having-received for Eriphyle from Thersander

τοῦ Πολυνείκους τὸν πέπλον συνέπεισε καὶ τοὺς παῖδας
the son-of-Polynices the robe persuaded also the sons
στρατεύεσθαι. οἱ δὲ ἡγεμόνα Ἀλκμαίωνα ἑλόμενοι Θήβας
to-march they and as-leader Alcmaeon having-chosen Thebes
ἐπολέμουν. ἦσαν δὲ οἱ στρατευόμενοι οἵδε· Ἀλκμαίων
warred-on were and the-ones marching these Alcmaeon
καὶ Ἀμφίλοχος Ἀμφιαράου, Αἰγιαλεὺς Ἀδράστου, Διομήδης
and Amphilochus sons-of-Amphiaraus Aegialeus son-of-Adrastus Diomedes
Τυδέως, Πρόμαχος Παρθενοπαίου, Σθένελος Καπανέως,
son-of-Tydeus Promachus son-of-Parthenopaeus Sthenelus son-of-Capaneus
Θέρσανδρος Πολυνείκους, Εὐρύαλος Μηκιστέως.
Thersander son-of-Polynices Euryalus son-of-Mecisteus
οὗτοι πρῶτον μὲν πορθοῦσι τὰς πέριξ κώμας, ἔπειτα 3
these first indeed sack the around villages then
τῶν Θηβαίων ἐπελθόντων Λαοδάμαντος τοῦ Ἐτεοκλέους
the Thebans having-attacked Laodamas the son-of-Eteocles
ἡγουμένου γενναίως μάχονται. καὶ Λαοδάμας μὲν Αἰγιαλέα
leading bravely they-fight and Laodamas indeed Aegialeus
κτείνει, Λαοδάμαντα δὲ Ἀλκμαίων. καὶ μετὰ τὸν τούτου
kills Laodamas and Alcmaeon and after the his
θάνατον Θηβαῖοι συμφεύγουσιν εἰς τὰ τείχη. Τειρεσίου
death Thebans flee-together into the walls Tiresias
δὲ εἰπόντος αὐτοῖς πρὸς μὲν Ἀργείους κήρυκα περὶ
and having-told them to indeed Argives a-herald about
διαλύσεως ἀποστέλλειν, αὐτοὺς δὲ φεύγειν, πρὸς μὲν τοὺς
peace to-send themselves and to-flee to indeed the
πολεμίους κήρυκα πέμπουσιν, αὐτοὶ δὲ ἀναβιβάσαντες
enemies a-herald they-send themselves and having-mounted
ἐπὶ τὰς ἀπήνας τέκνα καὶ γυναῖκας ἐκ τῆς πόλεως
on the wagons children and wives from the city
ἔφευγον. νύκτωρ δὲ ἐπὶ τὴν λεγομένην Τιλφοῦσσαν
fled by-night and at the called Tilphussa

κρήνην παραγενομένων αὐτῶν, Τειρεσίας ἀπὸ ταύτης
spring having-arrived they Tiresias from it
πιὼν αὐτοῦ τὸν βίον κατέστρεψε. Θηβαῖοι δὲ ἐπὶ
having-drunk his the life ended Thebans and for
πολὺ διελθόντες πόλιν Ἑστιαίαν κτίσαντες κατῴκησαν.
far having-gone a-city Hestiaea having-founded settled
4 Ἀργεῖοι δὲ ὕστερον τὸν δρασμὸν τῶν Θηβαίων μαθόντες
Argives and later the flight of-the Thebans having-learned
εἰσίασιν εἰς τὴν πόλιν, καὶ συναθροίζουσι τὴν λείαν, καὶ
enter into the city and gather the booty and
καθαιροῦσι τὰ τείχη. τῆς δὲ λείας μέρος εἰς Δελφοὺς
pull-down the walls of-the and booty a-part to Delphi
πέμπουσιν Ἀπόλλωνι καὶ τὴν Τειρεσίου θυγατέρα Μαντώ·
they-send to-Apollo and the of-Tiresias daughter Manto
ηὔξαντο γὰρ αὐτῷ Θήβας ἑλόντες τὸ κάλλιστον τῶν
they-had-vowed for to-him Thebes having-taken the finest of-the
λαφύρων ἀναθήσειν.
spoils to-be-going-to-dedicate
5 μετὰ δὲ τὴν Θηβῶν ἅλωσιν αἰσθόμενος Ἀλκμαίων καὶ
after and the of-Thebes capture having-perceived Alcmaeon also
ἐπ᾽ αὐτῷ δῶρα εἰληφυῖαν Ἐριφύλην τὴν μητέρα μᾶλλον
against him gifts having-received Eriphyle the mother more
ἠγανάκτησε, καὶ χρήσαντος Ἀπόλλωνος αὐτῷ τὴν μητέρα
was-indignant and having-oracled Apollo to-him the mother
ἀπέκτεινεν. ἔνιοι μὲν λέγουσι σὺν Ἀμφιλόχῳ τῷ ἀδελφῷ
he-killed some indeed say with Amphilochus the brother
κτεῖναι τὴν Ἐριφύλην, ἔνιοι δὲ ὅτι μόνος. Ἀλκμαίωνα δὲ
to-have-killed — Eriphyle some but that alone Alcmaeon and
μετῆλθεν ἐρινὺς τοῦ μητρῴου φόνου, καὶ μεμηνὼς πρῶτον
pursued Fury of-the mother's murder and maddened first
μὲν εἰς Ἀρκαδίαν πρὸς Ὀικλέα παραγίνεται, ἐκεῖθεν δὲ
indeed to Arcadia to Oicles comes from-there and

εἰς Ψωφῖδα πρὸς Φηγέα. καθαρθεὶς δὲ ὑπ᾽ αὐτοῦ Ἀρσινόην
to Psophis to Phegeus purified and by him Arsinoe
γαμεῖ τὴν τούτου θυγατέρα, καὶ τόν τε ὅρμον καὶ τὸν
marries the his daughter and the both necklace and the
πέπλον ἔδωκε ταύτῃ. γενομένης δὲ ὕστερον τῆς γῆς δι᾽
robe he-gave to-her having-become and later the land because-of
αὐτὸν ἀφόρου, χρήσαντος αὐτῷ τοῦ θεοῦ πρὸς Ἀχελῷον
him barren having-oracled to-him the god to Achelous
ἀπιέναι καὶ παρ᾽ ἐκεῖνον παλινδικίαν λαμβάνειν, τὸ
to-depart and to him a-new-trial to-get at-the
μὲν πρῶτον πρὸς Οἰνέα παραγίνεται εἰς Καλυδῶνα καὶ
indeed first to Oeneus comes at Calydon and
ξενίζεται παρ᾽ αὐτῷ, ἔπειτα ἀφικόμενος εἰς Θεσπρωτοὺς
is-entertained by him then having-come to Thesprotians
τῆς χώρας ἀπελαύνεται. τελευταῖον δὲ ἐπὶ τὰς Ἀχελῴου
from-the land is-driven-away at-last and to the of-Achelous
πηγὰς παραγενόμενος καθαίρεταί τε ὑπ᾽ αὐτοῦ καὶ τὴν
springs having-come is-purified and by him and the
ἐκείνου θυγατέρα Καλλιρρόην λαμβάνει, καὶ ὃν Ἀχελῷος
his daughter Callirrhoe takes and which Achelous
προσέχωσε τόπον κτίσας κατῴκησε. Καλλιρρόης δὲ
silted-up place having-founded settled Callirrhoe and
ὕστερον τόν τε ὅρμον καὶ τὸν πέπλον ἐπιθυμούσης
later the both necklace and the robe desiring
λαβεῖν, καὶ λεγούσης οὐ συνοικήσειν αὐτῷ εἰ μὴ λάβοι
to-get and saying not to-be-going-to-live-with him if not she-got
ταῦτα, παραγενόμενος εἰς Ψωφῖδα Ἀλκμαίων Φηγεῖ λέγει
these having-come to Psophis Alcmaeon to-Phegeus tells
τεθεσπίσθαι τῆς μανίας ἀπαλλαγὴν ἑαυτῷ, τὸν ὅρμον
to-have-been-oracled of-the madness riddance to-himself the necklace
ὅταν εἰς Δελφοὺς κομίσας ἀναθῇ καὶ τὸν πέπλον. ὁ δὲ
when to Delphi having-brought he-dedicate and the robe he and

πιστεύσας δίδωσι μηνύσαντος δὲ θεράποντος ὅτι Καλλιρρόῃ
having-believed gives having-informed and a-servant that to-Callirrhoe
ταῦτα λαβὼν ἐκόμιζεν, ἐνεδρευθεὶς ὑπὸ τῶν Φηγέως
these-things having-taken he-was-carrying ambushed by the of-Phegeus
παίδων ἐπιτάξαντος τοῦ Φηγέως ἀναιρεῖται. Ἀρσινόην
sons having-ordered the Phegeus he-is-killed Arsinoe
δὲ μεμφομένην οἱ τοῦ Φηγέως παῖδες ἐμβιβάσαντες
but blaming the of-the Phegeus sons having-put
εἰς λάρνακα κομίζουσιν εἰς Τεγέαν καὶ διδόασι δούλην
into a-chest carry to Tegea and give as-slave
Ἀγαπήνορι, καταψευσάμενοι αὐτῆς τὸν Ἀλκμαίωνος φόνον.
to-Agapenor having-falsely-accused her the of-Alcmaeon murder
6 Καλλιρρόη δὲ τὴν Ἀλκμαίωνος ἀπώλειαν μαθοῦσα,
Callirrhoe and the of-Alcmaeon death having-learned
πλησιάζοντος αὐτῇ τοῦ Διός, αἰτεῖται τοὺς γεγεννημένους
approaching her — Zeus asks the begotten
παῖδας ἐξ Ἀλκμαίωνος αὐτῇ γενέσθαι τελείους, ἵνα τὸν
sons by Alcmaeon for-her to-become full-grown so-that the
τοῦ πατρὸς τίσωνται φόνον. γενόμενοι δὲ ἐξαίφνης οἱ
of-the father they-may-avenge murder having-become and suddenly the
παῖδες τέλειοι ἐπὶ τὴν ἐκδικίαν τοῦ πατρὸς ἐξῄεσαν. κατὰ
sons full-grown for the vengeance of-the father went-forth at
τὸν αὐτὸν δὲ καιρὸν οἵ τε Φηγέως παῖδες Πρόνοος
the same and time the both of-Phegeus sons Pronous
καὶ Ἀγήνωρ, εἰς Δελφοὺς κομίζοντες ἀναθεῖναι τὸν ὅρμον
and Agenor to Delphi carrying to-dedicate the necklace
καὶ τὸν πέπλον, καταλύουσι πρὸς Ἀγαπήνορα, καὶ οἱ
and the robe lodge with Agapenor and the
τοῦ Ἀλκμαίωνος παῖδες Ἀμφότερός τε καὶ Ἀκαρνάν· καὶ
— of-Alcmaeon sons Amphoterus both and Acarnan and
ἀνελόντες τοὺς τοῦ πατρὸς φονέας, παραγενόμενοί τε
having-killed the of-the father murderers having-come both

εἰς Ψωφῖδα καὶ παρελθόντες εἰς τὰ βασίλεια τόν τε
to Psophis and having-entered into the palace the both
Φηγέα καὶ τὴν γυναῖκα αὐτοῦ κτείνουσι. διωχθέντες
Phegeus and the wife his kill having-been-pursued
δὲ ἄχρι Τεγέας ἐπιβοηθησάντων Τεγεατῶν καί τινων
and as-far-as Tegea having-helped Tegeans and some
Ἀργείων ἐσώθησαν, εἰς φυγὴν τῶν Ψωφιδίων τραπέντων.
Argives they-were-saved into flight the Psophidians having-been-turned
δηλώσαντες δὲ τῇ μητρὶ ταῦτα, τόν τε ὅρμον καὶ τὸν 7
having-revealed and to-the mother these-things the both necklace and the
πέπλον ἐλθόντες εἰς Δελφοὺς ἀνέθεντο κατὰ πρόσταξιν
robe having-gone to Delphi dedicated according-to command
Ἀχελῴου. πορευθέντες δὲ εἰς τὴν Ἤπειρον συναθροίζουσιν
of-Achelous having-journeyed and to — Epirus gather
οἰκήτορας καὶ κτίζουσιν Ἀκαρνανίαν.
settlers and found Acarnania
Εὐριπίδης δέ φησιν Ἀλκμαίωνα κατὰ τὸν τῆς μανίας
Euripides but says Alcmaeon in the of-the madness
χρόνον ἐκ Μαντοῦς Τειρεσίου παῖδας δύο γεννῆσαι,
time by Manto daughter-of-Tiresias children two to-have-begotten
Ἀμφίλοχον καὶ θυγατέρα Τισιφόνην, κομίσαντα δὲ εἰς
Amphilochus and a-daughter Tisiphone having-brought and to
Κόρινθον τὰ βρέφη δοῦναι τρέφειν Κορινθίων βασιλεῖ
Corinth the babes to-have-given to-rear of-Corinthians to-king
Κρέοντι, καὶ τὴν μὲν Τισιφόνην διενεγκοῦσαν εὐμορφίᾳ
Creon and the indeed Tisiphone excelling in-beauty
ὑπὸ τῆς Κρέοντος γυναικὸς ἀπεμποληθῆναι, δεδοικυίας
by — of-Creon wife to-have-been-sold fearing
μὴ Κρέων αὐτὴν γαμετὴν ποιήσηται. τὸν δὲ Ἀλκμαίωνα
lest Creon her wife should-make the and Alcmaeon
ἀγοράσαντα ταύτην ἔχειν οὐκ εἰδότα τὴν ἑαυτοῦ θυγατέρα
having-bought her to-have not knowing the his-own daughter

θεράπαιναν, παραγενόμενον δὲ εἰς Κόρινθον ἐπὶ τὴν τῶν
as-handmaid having-come and to Corinth for the of-the
τέκνων ἀπαίτησιν καὶ τὸν υἱὸν κομίσασθαι. καὶ Ἀμφίλοχος
children demand also the son to-have-recovered and Amphilochus
κατὰ χρησμοὺς Ἀπόλλωνος Ἀμφιλοχικὸν Ἄργος ᾤκισεν.
according-to oracles of-Apollo Amphilochian Argos colonized

III.8 · LYCAON AND CALLISTO

Pelasgus, earthborn or son of Zeus, is the father of Lycaon, king of Arcadia, who begets fifty sons, all of them named, by many wives. They surpass all men in pride and impiety, and Zeus, wishing to test them, comes to them disguised as a laborer. They invite him to a meal, kill a child of the land, and mix his flesh with the sacrifices, and Zeus overturns the table, at the place since called Trapezus, and kills Lycaon and his sons with thunderbolts, all but the youngest, Nyctimus, for Earth stays his hand. In Nyctimus' reign comes Deucalion's flood, which some say the impiety of Lycaon's sons brought on. His daughter Callisto, a huntress of Artemis, is forced by Zeus and turned by him into a bear to hide her from Hera; Artemis shoots her, at Hera's persuasion or in anger at her lost maidenhood, and Zeus gives her son Arcas to Maia to rear and sets her among the stars as the Bear.

1 ἐπανάγωμεν δὲ νῦν πάλιν ἐπὶ τὸν Πελασγόν, ὃν
let-us-return and now again to — Pelasgus whom
Ἀκουσίλαος μὲν Διὸς λέγει καὶ Νιόβης, καθάπερ ὑπέθεμεν,
Acusilaus indeed of-Zeus says and of-Niobe as we-supposed
Ἡσίοδος δὲ αὐτόχθονα. τούτου καὶ τῆς Ὠκεανοῦ θυγατρὸς
Hesiod but earth-born of-him and of-the of-Ocean daughter
Μελιβοίας, ἢ καθάπερ ἄλλοι λέγουσι νύμφης Κυλλήνης,
Meliboea or as others say of-nymph Cyllene
παῖς Λυκάων ἐγένετο, ὃς βασιλεύων Ἀρκάδων ἐκ πολλῶν
son Lycaon was who reigning over-Arcadians by many
γυναικῶν πεντήκοντα παῖδας ἐγέννησε· Μελαινέα Θεσπρωτὸν
women fifty sons begot Melaeneus Thesprotus

Ἕλικα Νύκτιμον Πευκέτιον, Καύκωνα Μηκιστέα Ὁπλέα
Helix Nyctimus Peucetius Caucon Mecisteus Hopleus
Μακαρέα Μάκεδνον, Ὄρον Πόλιχον Ἀκόντην Εὐαίμονα
Macareus Macednus Horus Polichus Acontes Evaemon
Ἀγκύορα, Ἀρχεβάτην Καρτέρωνα Αἰγαίωνα Πάλλαντα
Ancyor Archebates Carteron Aegaeon Pallas
Εὔμονα, Κάνηθον Πρόθοον Λίνον Κορέθοντα Μαίναλον,
Eumon Canethus Prothous Linus Coretho Maenalus
Τηλεβόαν Φύσιον Φάσσον Φθῖον Λύκιον, Ἁλίφηρον Γενέτορα
Teleboas Physius Phassus Phthius Lycius Halipherus Genetor
Βουκολίωνα Σωκλέα Φινέα, Εὐμήτην Ἁρπαλέα Πορθέα
Bucolion Socleus Phineus Eumetes Harpaleus Portheus
Πλάτωνα Αἵμονα, Κύναιθον Λέοντα Ἁρπάλυκον Ἡραιέα
Plato Haemo Cynaethus Leo Harpalycus Heraeeus
Τιτάναν, Μαντινέα Κλείτορα Στύμφαλον Ὀρχομενόν ***
Titanas Mantineus Clitor Stymphalus Orchomenus (lacuna)
οὗτοι πάντας ἀνθρώπους ὑπερέβαλλον ὑπερηφανίᾳ καὶ
these all men surpassed in-pride and
ἀσεβείᾳ. Ζεὺς δὲ αὐτῶν βουλόμενος τὴν ἀσέβειαν πειρᾶσαι
impiety Zeus and their wishing the impiety to-test
εἰκασθεὶς ἀνδρὶ χερνήτῃ παραγίνεται. οἱ δὲ αὐτὸν
likened to-a-man day-laborer comes they and him
ἐπὶ ξένια καλέσαντες, σφάξαντες ἕνα τῶν ἐπιχωρίων
to hospitality having-invited having-slaughtered one of-the natives
παῖδα, τοῖς ἱεροῖς τὰ τούτου σπλάγχνα συναναμίξαντες
child with-the sacrifices the his bowels having-mixed
παρέθεσαν, συμβουλεύσαντος τοῦ πρεσβυτέρου ἀδελφοῦ
set-before having-advised the elder brother
Μαινάλου. Ζεὺς δὲ μυσαχθεὶς τὴν μὲν τράπεζαν ἀνέτρεψεν,
Maenalus Zeus and in-disgust the indeed table upset
ἔνθα νῦν Τραπεζοῦς καλεῖται ὁ τόπος, Λυκάονα δὲ καὶ
where now Trapezus is-called the place Lycaon and and

τοὺς τούτου παῖδας ἐκεραύνωσε, χωρὶς τοῦ νεωτάτου
the his sons thunderstruck except the youngest
Νυκτίμου· φθάσασα γὰρ ἡ Γῆ καὶ τῆς δεξιᾶς τοῦ
Nyctimus having-anticipated for — Earth and the right —
Διὸς ἐφαψαμένη τὴν ὀργὴν κατέπαυσε.
of-Zeus having-laid-hold-of the anger stopped
2 Νυκτίμου δὲ τὴν βασιλείαν παραλαβόντος ὁ ἐπὶ
Nyctimus and the kingdom having-received the in-the-time-of
Δευκαλίωνος κατακλυσμὸς ἐγένετο. τοῦτον ἔνιοι διὰ
Deucalion flood happened this some because-of
τὴν τῶν Λυκάονος παίδων δυσσέβειαν εἶπον γεγενῆσθαι.
the of-the of-Lycaon sons impiety said to-have-happened
Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα
Eumelus and and some others say to-Lycaon also a-daughter
Καλλιστὼ γενέσθαι· Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν
Callisto to-have-been-born Hesiod indeed for her one
εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης
to-be of-the nymphs says Asius but of-Nycteus Pherecydes
δὲ Κητέως. αὕτη σύνθηρος Ἀρτέμιδος οὖσα, τὴν αὐτὴν
but of-Ceteus she fellow-huntress of-Artemis being the same
ἐκείνῃ στολὴν φοροῦσα, ὤμοσεν αὐτῇ μεῖναι παρθένος.
as-she dress wearing swore to-her to-remain virgin
Ζεὺς δὲ ἐρασθεὶς ἀκούσῃ συνευνάζεται, εἰκασθείς,
Zeus and having-fallen-in-love unwilling lies-with-her having-been-likened
ὡς μὲν ἔνιοι λέγουσιν, Ἀρτέμιδι, ὡς δὲ ἔνιοι, Ἀπόλλωνι.
as indeed some say to-Artemis as but some to-Apollo
βουλόμενος δὲ Ἥραν λαθεῖν εἰς ἄρκτον μετεμόρφωσεν
wishing and Hera to-escape-notice into a-bear transformed
αὐτήν. Ἥρα δὲ ἔπεισεν Ἄρτεμιν ὡς ἄγριον θηρίον
her Hera but persuaded Artemis as wild beast
κατατοξεῦσαι. εἰσὶ δὲ οἱ λέγοντες ὡς Ἄρτεμις
to-shoot-down there-are and the-ones saying that Artemis

αὐτὴν κατετόξευσεν ὅτι τὴν παρθενίαν οὐκ ἐφύλαξεν.
her shot-down because the virginity not she-guarded
ἀπολομένης δὲ Καλλιστοῦς Ζεὺς τὸ βρέφος ἁρπάσας
having-perished and Callisto Zeus the babe having-snatched
ἐν Ἀρκαδίᾳ δίδωσιν ἀνατρέφειν Μαίᾳ, προσαγορεύσας
in Arcadia gives to-rear to-Maia having-named
Ἀρκάδα· τὴν δὲ Καλλιστὼ καταστερίσας ἐκάλεσεν ἄρκτον.
Arcas the and Callisto having-made-a-star called Bear

III.9 · AUGE AND ATALANTA

Arcas' descendants rule Arcadia. Aleus' daughter Auge is seduced by Heracles and hides the child in the precinct of Athena; when famine strikes the land and Aleus finds the baby, he exposes it and gives Auge to Nauplius to be killed, but Nauplius gives her to Teuthras, king of the Mysians, who marries her. The child, suckled by a doe, is named Telephus and later, told by the oracle, finds his mother in Mysia and becomes Teuthras' heir. Atalanta, exposed by her father, who wanted sons, is suckled by a bear and grows up a huntress; she shoots the centaurs who try to rape her, hunts the Calydonian boar, and wrestles Peleus at the games for Pelias. Restored to her parents, she makes her suitors race her for their lives, she running armed, until Melanion throws down golden apples from Aphrodite and wins; later the two lie together in a precinct of Zeus and are turned into lions.

Ἀρκάδος δὲ καὶ Λεανείρας τῆς Ἀμύκλου ἢ Μεγανείρας 1
of-Arcas and and of-Leanira the daughter-of-Amyclas or of-Meganira
τῆς Κρόκωνος, ὡς δὲ Εὔμηλος λέγει, νύμφης Χρυσοπελείας,
the daughter-of-Croco as but Eumelus says of-nymph Chrysopelia
ἐγένοντο παῖδες Ἔλατος καὶ Ἀφείδας. οὗτοι τὴν γῆν
were-born sons Elatus and Aphidas these the land
ἐμερίσαντο, τὸ δὲ πᾶν κράτος εἶχεν Ἔλατος, ὃς ἐκ
divided the and whole power held Elatus who by
Λαοδίκης τῆς Κινύρου Στύμφαλον καὶ Περέα τεκνοῖ,
Laodice the daughter-of-Cinyras Stymphalus and Pereus begets

Ἀφείδας δὲ Ἀλεὸν καὶ Σθενέβοιαν, ἣν γαμεῖ Προῖτος. Ἀλεοῦ
Aphidas and Aleus and Stheneboea whom marries Proetus of-Aleus
δὲ καὶ Νεαίρας τῆς Περέως θυγάτηρ μὲν Αὔγη, υἱοὶ
and and of-Neaera the daughter-of-Pereus a-daughter indeed Auge sons
δὲ Κηφεὺς καὶ Λυκοῦργος. Αὔγη μὲν οὖν ὑφ' Ἡρακλέους
and Cepheus and Lycurgus Auge indeed then by Heracles
φθαρεῖσα κατέκρυψε τὸ βρέφος ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς,
seduced hid the babe in the precinct — of-Athena
ἧς εἶχε τὴν ἱερωσύνην. ἀκάρπου δὲ τῆς γῆς μενούσης,
of-whom she-held the priesthood fruitless and the land remaining
καὶ μηνυόντων τῶν χρησμῶν εἶναί τι ἐν τῷ τεμένει τῆς
and revealing the oracles to-be something in the precinct —
Ἀθηνᾶς δυσσέβημα, φωραθεῖσα ὑπὸ τοῦ πατρὸς παρεδόθη
of-Athena impiety detected by the father she-was-handed-over
Ναυπλίῳ ἐπὶ θανάτῳ παρ' οὗ Τεύθρας ὁ Μυσῶν δυνάστης
to-Nauplius for death from whom Teuthras the of-Mysians prince
παραλαβὼν αὐτὴν ἔγημε. τὸ δὲ βρέφος ἐκτεθὲν ἐν ὄρει
having-received her married the and babe exposed on mount
Παρθενίῳ θηλὴν ὑποσχούσης ἐλάφου Τήλεφος ἐκλήθη, καὶ
Parthenius teat having-offered a-doe Telephus was-called and
τραφεὶς ὑπὸ τῶν Κορύθου βουκόλων καὶ ζητήσας τοὺς
reared by the of-Corythus herdsmen and having-sought the
γονέας ἦκεν εἰς Δελφούς, καὶ μαθὼν παρὰ τοῦ θεοῦ,
parents came to Delphi and having-learned from the god
παραγενόμενος εἰς Μυσίαν θετὸς παῖς Τεύθραντος γίνεται·
having-come to Mysia adopted son of-Teuthras becomes
καὶ τελευτῶντος αὐτοῦ διάδοχος τῆς δυναστείας γίνεται.
and dying him successor of-the sovereignty becomes
2 Λυκούργου δὲ καὶ Κλεοφύλης ἢ Εὐρυνόμης Ἀγκαῖος καὶ
of-Lycurgus and and of-Cleophyle or of-Eurynome Ancaeus and
Ἔποχος καὶ Ἀμφιδάμας καὶ Ἴασος. Ἀμφιδάμαντος δὲ
Epochus and Amphidamas and Iasus of-Amphidamas and

Μελανίων καὶ θυγάτηρ Ἀντιμάχη, ἣν Εὐρυσθεὺς ἔγημεν.
Melanion and a-daughter Antimache whom Eurystheus married
Ἰάσου δὲ καὶ Κλυμένης τῆς Μινύου Ἀταλάντη
of-Iasus and and of-Clymene the daughter-of-Minyas Atalanta
ἐγένετο. ταύτης ὁ πατὴρ ἀρρένων παίδων ἐπιθυμῶν
was-born her the father of-male children desiring
ἐξέθηκεν αὐτήν, ἄρκτος δὲ φοιτῶσα πολλάκις θηλὴν ἐδίδου,
exposed her a-she-bear and coming often teat gave
μέχρις οὗ εὑρόντες κυνηγοὶ παρ' ἑαυτοῖς ἀνέτρεφον.
until when finding-her hunters among themselves reared
τελεία δὲ Ἀταλάντη γενομένη παρθένον ἑαυτὴν ἐφύλαττε,
grown-up and Atalanta having-become virgin herself kept
καὶ θηρεύουσα ἐν ἐρημίᾳ καθωπλισμένη διετέλει. βιάζεσθαι
and hunting in wilderness armed continued to-violate
δὲ αὐτὴν ἐπιχειροῦντες Κένταυροι Ῥοῖκός τε καὶ Ὑλαῖος
and her attempting Centaurs Rhoecus both and Hylaeus
κατατοξευθέντες ὑπ' αὐτῆς ἀπέθανον. παρεγένετο δὲ μετὰ
shot-down by her died she-came and with
τῶν ἀριστέων καὶ ἐπὶ τὸν Καλυδώνιον κάπρον, καὶ
the chiefs also to the Calydonian boar and
ἐν τῷ ἐπὶ Πελίᾳ τεθέντι ἀγῶνι ἐπάλαισε Πηλεῖ
in the in-honor-of Pelias held games wrestled with-Peleus
καὶ ἐνίκησεν. ἀνευροῦσα δὲ ὕστερον τοὺς γονέας, ὡς
and won having-found and later the parents when
ὁ πατὴρ γαμεῖν αὐτὴν ἔπειθεν ἀπιοῦσα εἰς σταδιαῖον
the father to-marry her urged going to a-race-course
τόπον καὶ πήξασα μέσον σκόλοπα τρίπηχυν, ἐντεῦθεν
place and having-fixed in-the-middle a-stake three-cubits-long from-there
τῶν μνηστευομένων τοὺς δρόμους προϊεῖσα ἐτρόχαζε
of-the wooers the races letting-start she-ran
καθωπλισμένη· καὶ καταληφθέντι μὲν αὐτοῦ θάνατος
armed and to-the-one-overtaken indeed on-the-spot death

ὠφείλετο, μὴ καταληφθέντι δὲ γάμος. ἤδη δὲ πολλῶν
was-due not to-the-one-overtaken and marriage already and many
ἀπολομένων Μελανίων αὐτῆς ἐρασθεὶς ἦκεν ἐπὶ
having-perished Melanion with-her having-fallen-in-love came to
τὸν δρόμον, χρύσεα μῆλα κομίζων παρ᾽ Ἀφροδίτης,
the race golden apples bringing from Aphrodite
καὶ διωκόμενος ταῦτα ἔρριπτεν. ἡ δὲ ἀναιρουμένη
and being-pursued these threw she and picking-up
τὰ ῥιπτόμενα τὸν δρόμον ἐνικήθη. ἔγημεν οὖν
the-things thrown the race was-beaten married then
αὐτὴν Μελανίων. καί ποτε λέγεται θηρεύοντας αὐτοὺς
her Melanion and once it-is-said hunting them
εἰσελθεῖν εἰς τὸ τέμενος Διός, κἀκεῖ συνουσιάζοντας εἰς
to-have-entered into the precinct of-Zeus and-there having-intercourse into
λέοντας ἀλλαγῆναι. Ἡσίοδος δὲ καί τινες ἕτεροι τὴν
lions to-have-been-changed Hesiod but and some others —
Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως εἶπον, Εὐριπίδης
Atalanta not of-Iasus but of-Schoeneus said Euripides
δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οὐ Μελανίωνα
but of-Maenalus and the-one having-married her not Melanion
ἀλλὰ Ἱππομένην. ἐγέννησε δὲ ἐκ Μελανίωνος Ἀταλάντη
but Hippomenes bore and by Melanion Atalanta
ἢ Ἄρεος Παρθενοπαῖον, ὃς ἐπὶ Θήβας ἐστρατεύσατο.
or Ares Parthenopaeus who against Thebes marched

Atlas has seven daughters, the Pleiades, most of whom bear children to gods: Maia bears Hermes in a cave on Cyllene, who, still in his swaddling clothes, steals Apollo's cattle and makes a lyre from a tortoise shell, and trades the lyre to Apollo for the cattle. Taygete bears Lacedaemon, whose descendants follow: Hyacinth, killed by Apollo's quoit; and Asclepius, son of Apollo, who raises the dead and is struck down by Zeus, so that Apollo kills the Cyclopes in revenge and must serve Admetus for a year. Leda bears Helen and Polydeuces to Zeus, or Helen was Nemesis' egg, and Theseus carries her off. When the princes of Greece woo her, Tyndareus, on Odysseus' advice, makes them swear to defend the man chosen, and he chooses Menelaus.

Ἄτλαντος δὲ καὶ τῆς Ὠκεανοῦ Πληιόνης ἐγένοντο 1
of-Atlas and and of-the daughter-of-Ocean Pleione were-born
θυγατέρες ἑπτὰ ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας, αἱ Πληιάδες
daughters seven in Cyllene — of-Arcadia the Pleiades
προσαγορευθεῖσαι, Ἀλκυόνη Μερόπη Κελαινὼ Ἠλέκτρα
called Alcyone Merope Celaeno Electra
Στερόπη Ταϋγέτη Μαῖα. τούτων Στερόπην μὲν Οἰνόμαος
Sterope Taygete Maia of-these Sterope indeed Oenomaus
ἔγημε, Σίσυφος δὲ Μερόπην. δυσὶ δὲ ἐμίχθη Ποσειδῶν,
married Sisyphus and Merope with-two and had-intercourse Poseidon
πρώτῃ μὲν Κελαινοῖ, ἐξ ἧς Λύκος ἐγένετο, ὃν Ποσειδῶν
first indeed with-Celaeno from whom Lycus was-born whom Poseidon
ἐν μακάρων ᾤκισε νήσοις, δευτέρᾳ δὲ Ἀλκυόνῃ, ἣ
in of-the-blest settled isles second and with-Alcyone who
θυγατέρα μὲν ἐτέκνωσεν Αἴθουσαν τὴν Ἀπόλλωνι Ἐλευθῆρα
a-daughter indeed bore Aethusa the-one to-Apollo Eleuther
τεκοῦσαν, υἱοὺς δὲ Ὑριέα καὶ Ὑπερήνορα. Ὑριέως μὲν
having-borne sons and Hyrieus and Hyperenor of-Hyrieus indeed
οὖν καὶ Κλονίης νύμφης Νυκτεὺς καὶ Λύκος, Νυκτέως δὲ
then and of-Clonia nymph Nycteus and Lycus of-Nycteus and

καὶ Πολυξοῦς Ἀντιόπη, Ἀντιόπης δὲ καὶ Διὸς Ζῆθος καὶ
and of-Polyxo Antiope of-Antiope and and of-Zeus Zethus and
Ἀμφίων. ταῖς δὲ λοιπαῖς Ἀτλαντίσι Ζεὺς συνουσιάζει.
Amphion with-the and remaining Atlantids Zeus has-intercourse
2 Μαῖα μὲν οὖν ἡ πρεσβυτάτη Διὶ συνελθοῦσα ἐν ἄντρῳ
Maia indeed then the eldest with-Zeus having-consorted in a-cave
τῆς Κυλλήνης Ἑρμῆν τίκτει. οὗτος ἐν σπαργάνοις ἐπὶ τοῦ
— of-Cyllene Hermes bears he in swaddling-bands on the
λίκνου κείμενος, ἐκδὺς εἰς Πιερίαν παραγίνεται, καὶ
winnowing-fan lying having-slipped-out to Pieria comes and
κλέπτει βόας ἃς ἔνεμεν Ἀπόλλων. ἵνα δὲ μὴ φωραθείη
steals cattle which pastured Apollo so-that and not he-might-be-detected
ὑπὸ τῶν ἰχνῶν, ὑποδήματα τοῖς ποσὶ περιέθηκε, καὶ
by the tracks shoes on-the feet he-put-on and
κομίσας εἰς Πύλον τὰς μὲν λοιπὰς εἰς σπήλαιον ἀπέκρυψε,
having-brought to Pylos the indeed rest in a-cave hid
δύο δὲ καταθύσας τὰς μὲν βύρσας πέτραις καθήλωσε,
two and having-sacrificed the indeed hides to-rocks nailed
τῶν δὲ κρεῶν τὰ μὲν κατηνάλωσεν ἑψήσας τὰ δὲ
of-the and flesh the-part indeed consumed having-boiled the-rest and
κατέκαυσε· καὶ ταχέως εἰς Κυλλήνην ᾤχετο. καὶ εὑρίσκει
burned and quickly to Cyllene went and finds
πρὸ τοῦ ἄντρου νεμομένην χελώνην. ταύτην ἐκκαθάρας,
before the cave grazing a-tortoise this having-cleaned
εἰς τὸ κύτος χορδὰς ἐντείνας ἐξ ὧν ἔθυσε βοῶν καὶ
into the hollow strings having-stretched from what he-sacrificed of-cattle and
ἐργασάμενος λύραν εὗρε καὶ πλῆκτρον. Ἀπόλλων δὲ τὰς
having-made a-lyre discovered also a-plectrum Apollo and the
βόας ζητῶν εἰς Πύλον ἀφικνεῖται, καὶ τοὺς κατοικοῦντας
cattle seeking to Pylos comes and the inhabitants
ἀνέκρινεν. οἱ δὲ ἰδεῖν μὲν παῖδα ἐλαύνοντα ἔφασκον,
questioned they and to-have-seen indeed a-boy driving said

οὐκ ἔχειν δὲ εἰπεῖν ποῖ ποτε ἠλάθησαν διὰ τὸ μὴ
not to-be-able but to-say whither -ever they-were-driven because-of the not
εὑρεῖν ἴχνος δύνασθαι. μαθὼν δὲ ἐκ τῆς μαντικῆς τὸν
to-find track to-be-able having-learned and from the divination the
κεκλοφότα πρὸς Μαῖαν εἰς Κυλλήνην παραγίνεται, καὶ τὸν
thief to Maia at Cyllene comes and —
Ἑρμῆν ἠτιᾶτο. ἡ δὲ ἐπέδειξεν αὐτὸν ἐν τοῖς σπαργάνοις.
Hermes accused she and showed him in the swaddling-bands
Ἀπόλλων δὲ αὐτὸν πρὸς Δία κομίσας τὰς βόας ἀπῄτει.
Apollo and him to Zeus having-brought the cattle demanded
Διὸς δὲ κελεύοντος ἀποδοῦναι ἠρνεῖτο. μὴ πείθων δὲ ἄγει
Zeus and bidding to-give-back he-denied not persuading and he-leads
τὸν Ἀπόλλωνα εἰς Πύλον καὶ τὰς βόας ἀποδίδωσιν. ἀκούσας
— Apollo to Pylos and the cattle gives-back having-heard
δὲ τῆς λύρας ὁ Ἀπόλλων ἀντιδίδωσι τὰς βόας. Ἑρμῆς δὲ
and the lyre — Apollo gives-in-exchange the cattle Hermes and
ταύτας νέμων σύριγγα πάλιν πηξάμενος ἐσύριζεν. Ἀπόλλων
these pasturing a-pipe again having-put-together piped Apollo
δὲ καὶ ταύτην βουλόμενος λαβεῖν, τὴν χρυσῆν ῥάβδον
and also this wishing to-get the golden staff
ἐδίδου ἣν ἐκέκτητο βουκολῶν. ὁ δὲ καὶ ταύτην λαβεῖν
gave which he-had-acquired herding he and also this to-get
ἀντὶ τῆς σύριγγος ἤθελε καὶ τὴν μαντικὴν ἐπελθεῖν·
in-return-for the pipe wished and the divination to-master
καὶ δοὺς διδάσκεται τὴν διὰ τῶν ψήφων μαντικήν.
and having-given he-is-taught the by-means-of the pebbles divination
Ζεὺς δὲ αὐτὸν κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑποχθονίων τίθησι.
Zeus and him herald of-himself and of-gods infernal appoints
Ταϋγέτη δὲ ἐκ Διὸς ἐγέννησε Λακεδαίμονα, ἀφ' οὗ 3
Taygete and by Zeus bore Lacedaemon after whom
καὶ Λακεδαίμων ἡ χώρα καλεῖται. Λακεδαίμονος δὲ καὶ
also Lacedaemon the land is-called of-Lacedaemon and and

Σπάρτης τῆς Εὐρώτα, ὃς ἦν ἀπὸ Λέλεγος αὐτόχθονος
of-Sparta the daughter-of-Eurotas who was from Lelex earth-born
καὶ νύμφης νηίδος Κλεοχαρείας, Ἀμύκλας καὶ Εὐρυδίκη,
and nymph naiad Cleocharia Amyclas and Eurydice
ἣν ἔγημεν Ἀκρίσιος. Ἀμύκλα δὲ καὶ Διομήδης τῆς
whom married Acrisius of-Amyclas and and of-Diomede the
Λαπίθου Κυνόρτης καὶ Ὑάκινθος. τοῦτον εἶναι τοῦ
daughter-of-Lapithus Cynortes and Hyacinth this to-be —
Ἀπόλλωνος ἐρώμενον λέγουσιν, ὃν δίσκῳ βαλὼν ἄκων
of-Apollo beloved they-say whom with-a-quoit having-hit unwilling
ἀπέκτεινε. Κυνόρτου δὲ Περιήρης, ὃς γαμεῖ Γοργοφόνην τὴν
he-killed of-Cynortes and Perieres who marries Gorgophone the
Περσέως, καθάπερ Στησίχορός φησι, καὶ τίκτει Τυνδάρεων
daughter-of-Perseus as Stesichorus says and begets Tyndareus
Ἰκάριον Ἀφαρέα Λεύκιππον. Ἀφαρέως μὲν οὖν καὶ Ἀρήνης
Icarius Aphareus Leucippus of-Aphareus indeed then and of-Arene
τῆς Οἰβάλου Λυγκεύς τε καὶ Ἴδας καὶ Πεῖσος· κατὰ
the daughter-of-Oebalus Lynceus both and Idas and Pisus according-to
πολλοὺς δὲ Ἴδας ἐκ Ποσειδῶνος λέγεται. Λυγκεὺς δὲ
many but Idas by Poseidon is-said-to-be-begotten Lynceus and
ὀξυδερκίᾳ διήνεγκεν, ὡς καὶ τὰ ὑπὸ γῆν θεωρεῖν.
in-keenness-of-sight excelled so-that even the-things under earth to-see
Λευκίππου δὲ θυγατέρες ἐγένοντο Ἱλάειρα καὶ Φοίβη· ταύτας
of-Leucippus and daughters were-born Hilaira and Phoebe these
ἁρπάσαντες ἔγημαν Διόσκουροι. πρὸς δὲ ταύταις Ἀρσινόην
having-carried-off married Dioscuri besides and these Arsinoe
ἐγέννησε. ταύτῃ μίγνυται Ἀπόλλων, ἡ δὲ Ἀσκληπιὸν γεννᾷ.
he-begot with-her has-intercourse Apollo she and Asclepius bears
τινὲς δὲ Ἀσκληπιὸν οὐκ ἐξ Ἀρσινόης τῆς Λευκίππου
some but Asclepius not from Arsinoe the daughter-of-Leucippus
λέγουσιν, ἀλλ' ἐκ Κορωνίδος τῆς Φλεγύου ἐν
say but from Coronis the daughter-of-Phlegyas in

Θεσσαλίᾳ. καί φασιν ἐρασθῆναι ταύτης Ἀπόλλωνα καὶ
Thessaly and they-say to-have-loved her Apollo and
εὐθέως συνελθεῖν· τὴν δὲ παρὰ τὴν τοῦ πατρὸς γνώμην
at-once to-have-consorted she but against the of-the father judgment
Ἴσχυϊ τῷ Καινέως ἀδελφῷ συνοικεῖν. Ἀπόλλων δὲ τὸν
with-Ischys the of-Caeneus brother to-cohabit Apollo and the
μὲν ἀπαγγείλαντα κόρακα καταρᾶται, ὃν τέως λευκὸν
indeed having-reported raven curses which till-then white
ὄντα ἐποίησε μέλανα, αὐτὴν δὲ ἀπέκτεινε. καιομένης δὲ
being he-made black her and he-killed burning and
αὐτῆς ἁρπάσας τὸ βρέφος ἐκ τῆς πυρᾶς πρὸς Χείρωνα
her having-snatched the babe from the pyre to Chiron
τὸν Κένταυρον ἤνεγκε, παρ' ᾧ καὶ τὴν ἰατρικὴν καὶ τὴν
the Centaur he-carried with whom both the healing and the
κυνηγετικὴν τρεφόμενος ἐδιδάχθη. καὶ γενόμενος χειρουργικὸς
hunting being-reared he-was-taught and having-become a-surgeon
καὶ τὴν τέχνην ἀσκήσας ἐπὶ πολὺ οὐ μόνον ἐκώλυέ τινας
and the art having-practiced to much not only prevented some
ἀποθνήσκειν, ἀλλ' ἀνήγειρε καὶ τοὺς ἀποθανόντας· παρὰ
to-die but raised-up even the dead from
γὰρ Ἀθηνᾶς λαβὼν τὸ ἐκ τῶν φλεβῶν τῆς Γοργόνος
for Athena having-received the from the veins of-the Gorgon
ῥυὲν αἷμα, τῷ μὲν ἐκ τῶν ἀριστερῶν ῥυέντι πρὸς
having-flowed blood the indeed from the left having-flowed for
φθορὰν ἀνθρώπων ἐχρῆτο, τῷ δὲ ἐκ τῶν δεξιῶν πρὸς
destruction of-men he-used the and from the right for
σωτηρίαν, καὶ διὰ τούτου τοὺς τεθνηκότας ἀνήγειρεν.
saving and by this the dead he-raised-up
Ζεὺς δὲ φοβηθεὶς μὴ λαβόντες ἄνθρωποι θεραπείαν παρ' 4
Zeus and having-feared lest having-received men healing from
αὐτοῦ βοηθῶσιν ἀλλήλοις, ἐκεραύνωσεν αὐτόν. καὶ διὰ
him they-should-help one-another thunderstruck him and for

τοῦτο ὀργισθεὶς Ἀπόλλων κτείνει Κύκλωπας τοὺς τὸν
this having-been-angered Apollo kills Cyclopes the-ones the
κεραυνὸν Διὶ κατασκευάσαντας. Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν
thunderbolt for-Zeus having-made Zeus and was-about to-hurl
αὐτὸν εἰς Τάρταρον, δεηθείσης δὲ Λητοῦς ἐκέλευσεν αὐτὸν
him into Tartarus having-begged and Leto he-bade him
ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι. ὁ δὲ παραγενόμενος εἰς Φερὰς
a-year to-a-man to-serve he and having-come to Pherae
πρὸς Ἄδμητον τὸν Φέρητος τούτῳ λατρεύων ἐποίμαινε,
to Admetus the son-of-Pheres him serving tended-the-flocks
καὶ τὰς θηλείας βόας πάσας διδυμοτόκους ἐποίησεν.
and the female kine all twin-bearing made
εἰσὶ δὲ οἱ λέγοντες Ἀφαρέα μὲν καὶ Λεύκιππον ἐκ
there-are and the-ones saying Aphareus indeed and Leucippus from
Περιήρους γενέσθαι τοῦ Αἰόλου, Κυνόρτου δὲ Περιήρην,
Perieres to-have-been-born the son-of-Aeolus of-Cynortes and Perieres
τοῦ δὲ Οἴβαλον, Οἰβάλου δὲ καὶ νηίδος νύμφης Βατείας
of-him and Oebalus of-Oebalus and and of-naiad nymph Batia
Τυνδάρεων Ἱπποκόωντα Ἰκάριον.
Tyndareus Hippocoon Icarius
Ἱπποκόωντος μὲν οὖν ἐγένοντο παῖδες Δορυκλεὺς
of-Hippocoon indeed then were-born sons Dorycleus
Σκαῖος Ἐναροφόρος Εὐτείχης Βουκόλος Λύκαιθος Τέβρος
Scaeus Enarophorus Euteiches Bucolus Lycaethus Tebrus
Ἱππόθοος Εὔρυτος Ἱπποκορυστὴς Ἀλκίνους Ἄλκων.
Hippothous Eurytus Hippocorystes Alcinus Alcon
τούτους Ἱπποκόων ἔχων παῖδας Ἰκάριον καὶ Τυνδάρεων
these Hippocoon having as-sons Icarius and Tyndareus
ἐξέβαλε Λακεδαίμονος. οἱ δὲ φεύγουσι πρὸς Θέστιον, καὶ
expelled from-Lacedaemon they and flee to Thestius and
συμμαχοῦσιν αὐτῷ πρὸς τοὺς ὁμόρους πόλεμον ἔχοντι· καὶ
ally with-him against the neighbors war having and

γαμεῖ Τυνδάρεως Θεστίου θυγατέρα Λήδαν. αὖθις δέ, ὅτε
marries Tyndareus of-Thestius daughter Leda again and when
Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς τούτου παῖδας ἀπέκτεινε,
Heracles Hippocoon and the his sons killed
κατέρχονται, καὶ παραλαμβάνει Τυνδάρεως τὴν βασιλείαν.
they-return and takes-over Tyndareus the kingdom
Ἰκαρίου μὲν οὖν καὶ Περιβοίας νύμφης νηΐδος Θόας 6
of-Icarius indeed then and of-Periboea nymph naiad Thoas
Δαμάσιππος Ἰμεύσιμος Ἀλήτης Περίλεως, καὶ θυγάτηρ
Damasippus Imeusimus Aletes Perileos and a-daughter
Πηνελόπη, ἣν ἔγημεν Ὀδυσσεύς· Τυνδάρεω δὲ καὶ
Penelope whom married Odysseus of-Tyndareus and and
Λήδας Τιμάνδρα, ἣν Ἔχεμος ἔγημε, καὶ Κλυταιμνήστρα,
of-Leda Timandra whom Echemus married and Clytemnestra
ἣν ἔγημεν Ἀγαμέμνων, ἔτι τε Φυλονόη, ἣν Ἄρτεμις
whom married Agamemnon further and Phylonoe whom Artemis
ἀθάνατον ἐποίησε.
immortal made
Διὸς δὲ Λήδᾳ συνελθόντος ὁμοιωθέντος κύκνῳ, καὶ κατὰ 7
Zeus and with-Leda having-consorted likened to-a-swan and on
τὴν αὐτὴν νύκτα Τυνδάρεω, Διὸς μὲν ἐγεννήθη Πολυδεύκης
the same night Tyndareus of-Zeus indeed was-begotten Polydeuces
καὶ Ἑλένη, Τυνδάρεω δὲ Κάστωρ καὶ Κλυταιμνήστρα.
and Helen of-Tyndareus and Castor and Clytemnestra
λέγουσι δὲ ἔνιοι Νεμέσεως Ἑλένην εἶναι καὶ Διός. ταύτην
say but some of-Nemesis Helen to-be and of-Zeus her
γὰρ τὴν Διὸς φεύγουσαν συνουσίαν εἰς χῆνα τὴν μορφὴν
for the of-Zeus fleeing intercourse into a-goose the form
μεταβαλεῖν, ὁμοιωθέντα δὲ καὶ Δία κύκνῳ συνελθεῖν·
to-change likened and also Zeus to-a-swan to-lie-with-her
τὴν δὲ ᾠὸν ἐκ τῆς συνουσίας ἀποτεκεῖν, τοῦτο δὲ
she and an-egg from the intercourse to-lay this and

ἐν τοῖς ἄλσεσιν εὑρόντα τινὰ ποιμένα Λήδᾳ κομίσαντα
in the groves having-found a shepherd to-Leda having-brought
δοῦναι, τὴν δὲ καταθεμένην εἰς λάρνακα φυλάσσειν,
to-give she and having-put into a-chest to-keep
καὶ χρόνῳ καθήκοντι γεννηθεῖσαν Ἑλένην ὡς ἐξ αὐτῆς
and in-time due born Helen as from herself
θυγατέρα τρέφειν. γενομένην δὲ αὐτὴν κάλλει διαπρεπῆ
daughter to-rear having-become and her in-beauty conspicuous
Θησεὺς ἁρπάσας εἰς Ἀφίδνας ἐκόμισε. Πολυδεύκης δὲ
Theseus having-carried-off to Aphidnae brought Polydeuces and
καὶ Κάστωρ ἐπιστρατεύσαντες, ἐν Ἅιδου Θησέως ὄντος,
and Castor having-marched-against-it in Hades Theseus being
αἱροῦσι τὴν πόλιν καὶ τὴν Ἑλένην λαμβάνουσι, καὶ τὴν
take the city and — Helen take and the
Θησέως μητέρα Αἴθραν ἄγουσιν αἰχμάλωτον.
of-Theseus mother Aethra lead captive

8 παρεγένοντο δὲ εἰς Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ
came and to Sparta for the of-Helen marriage the-ones
βασιλεύοντες Ἑλλάδος. ἦσαν δὲ οἱ μνηστευόμενοι οἵδε·
reigning-over Greece were and the suitors these
Ὀδυσσεὺς Λαέρτου, Διομήδης Τυδέως, Ἀντίλοχος Νέστορος,
Odysseus son-of-Laertes Diomedes son-of-Tydeus Antilochus son-of-Nestor
Ἀγαπήνωρ Ἀγκαίου, Σθένελος Καπανέως, Ἀμφίμαχος
Agapenor son-of-Ancaeus Sthenelus son-of-Capaneus Amphimachus
Κτεάτου, Θάλπιος Εὐρύτου, Μέγης Φυλέως, Ἀμφίλοχος
son-of-Cteatus Thalpius son-of-Eurytus Meges son-of-Phyleus Amphilochus
Ἀμφιαράου, Μενεσθεὺς Πετεώ, Σχεδίος καὶ Ἐπίστροφος
son-of-Amphiaraus Menestheus son-of-Peteos Schedius and Epistrophus
Ἰφίτου, Πολύξενος Ἀγασθένους, Πηνέλεως Ἱππαλκίμου,
sons-of-Iphitus Polyxenus son-of-Agasthenes Peneleos son-of-Hippalcimus
Λήιτος Ἀλέκτορος, Αἴας Ὀιλέως, Ἀσκάλαφος καὶ Ἰάλμενος
Leitus son-of-Alector Ajax son-of-Oileus Ascalaphus and Ialmenus

Ἄρεος, Ἐλεφήνωρ Χαλκώδοντος, Εὔμηλος Ἀδμήτου,
sons-of-Ares Elephenor son-of-Chalcodon Eumelus son-of-Admetus
Πολυποίτης Πειρίθου, Λεοντεὺς Κορώνου, Ποδαλείριος
Polypoetes son-of-Pirithous Leonteus son-of-Coronus Podalirius
καὶ Μαχάων Ἀσκληπιοῦ, Φιλοκτήτης Ποίαντος, Εὐρύπυλος
and Machaon sons-of-Asclepius Philoctetes son-of-Poeas Eurypylus
Εὐαίμονος, Πρωτεσίλαος Ἰφίκλου, Μενέλαος Ἀτρέως, Αἴας
son-of-Evaemon Protesilaus son-of-Iphiclus Menelaus son-of-Atreus Ajax
καὶ Τεῦκρος Τελαμῶνος, Πάτροκλος Μενοιτίου.
and Teucer sons-of-Telamon Patroclus son-of-Menoetius
τούτων ὁρῶν τὸ πλῆθος Τυνδάρεως ἐδεδοίκει μὴ 9
of-these seeing the multitude Tyndareus feared lest
προκριθέντος ἑνὸς στασιάσωσιν οἱ λοιποί. ὑποσχομένου
preferred one they-should-quarrel the rest having-promised
δὲ Ὀδυσσέως, ἐὰν συλλάβηται πρὸς τὸν Πηνελόπης αὐτῷ
and Odysseus if he-should-help toward the of-Penelope for-him
γάμον, ὑποθήσεσθαι τρόπον τινὰ δι᾽ οὗ μηδεμία γενήσεται
marriage to-be-going-to-suggest a-way some by which no will-arise
στάσις, ὡς ὑπέσχετο αὐτῷ συλλήψεσθαι ὁ Τυνδάρεως,
quarrel when he-promised him to-be-going-to-help — Tyndareus
πάντας εἶπεν ἐξορκίσαι τοὺς μνηστῆρας βοηθήσειν, ἐὰν
all he-said to-make-swear the suitors to-be-going-to-defend if
ὁ προκριθεὶς νυμφίος ὑπὸ ἄλλου τινὸς ἀδικῆται περὶ
the preferred bridegroom by another some be-wronged about
τὸν γάμον. ἀκούσας δὲ τοῦτο Τυνδάρεως τοὺς μνηστῆρας
the marriage having-heard and this Tyndareus the suitors
ἐξορκίζει, καὶ Μενέλαον μὲν αὐτὸς αἱρεῖται νυμφίον,
makes-swear and Menelaus indeed himself chooses as-bridegroom
Ὀδυσσεῖ δὲ παρὰ Ἰκαρίου μνηστεύεται Πηνελόπην.
for-Odysseus and from Icarius woos Penelope

Menelaus has by Helen a daughter, Hermione, and by a slave woman a son, Megapenthes. Castor and Polydeuces carry off and marry the daughters of Leucippus. With the sons of Aphareus, Idas and Lynceus, they drive off cattle from Arcadia, and Idas, given the division, cuts a cow in four and declares that whoever eats his quarter first will take half the herd, and the second the rest; he eats both shares and takes the cattle to Messene. The Dioscuri march on Messene and take the cattle back, then lie in ambush for the sons of Aphareus; Lynceus sees Castor and Idas kills him, Polydeuces kills Lynceus, and Zeus thunderbolts Idas. Polydeuces is carried to heaven, but he will not accept immortality while his brother is dead, and Zeus allows the two to spend alternate days among the gods and among mortals. Tyndareus then hands Sparta to Menelaus.

1 Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε καὶ κατά
Menelaus indeed then by Helen Hermione begot and according-to
τινας Νικόστρατον, ἐκ δούλης δὲ Πιερίδος, γένος Αἰτωλίδος,
some Nicostratus by a-slave and Pieris by-race an-Aetolian
ἢ καθάπερ Ἀκουσίλαός φησι Τηρηίδος, Μεγαπένθη, ἐκ
or as Acusilaus says Tereis Megapenthes by
Κνωσσίας δὲ νύμφης κατὰ Εὔμηλον Ξενόδαμον.
Cnossia and a-nymph according-to Eumelus Xenodamus

2 τῶν δὲ ἐκ Λήδας γενομένων παίδων Κάστωρ μὲν ἤσκει
of-the and from Leda born sons Castor indeed practiced
τὰ κατὰ πόλεμον, Πολυδεύκης δὲ πυγμήν, καὶ διὰ
the-things of war Polydeuces and boxing and because-of
τὴν ἀνδρείαν ἐκλήθησαν ἀμφότεροι Διόσκουροι. βουλόμενοι
the manliness were-called both Dioscuri wishing
δὲ γῆμαι τὰς Λευκίππου θυγατέρας ἐκ Μεσσήνης
and to-marry the of-Leucippus daughters from Messene
ἁρπάσαντες ἔγημαν· καὶ γίνεται μὲν Πολυδεύκους καὶ
having-carried-off married and is-born indeed of-Polydeuces and

Φοίβης Μνησίλεως, Κάστορος δὲ καὶ Ἱλαείρας Ἀνώγων.
of-Phoebe Mnesileos of-Castor and and of-Hilaira Anogon
ἐλάσαντες δὲ ἐκ τῆς Ἀρκαδίας βοῶν λείαν μετὰ τῶν
having-driven and from — Arcadia of-cattle booty with the
Ἀφαρέως παίδων Ἴδα καὶ Λυγκέως, ἐπιτρέπουσιν Ἴδᾳ
of-Aphareus sons Idas and Lynceus they-allow Idas
διελεῖν· ὁ δὲ τεμὼν βοῦν εἰς μέρη τέσσαρα, τοῦ πρώτου
to-divide he and having-cut a-cow into parts four of-the first
καταφαγόντος εἶπε τῆς λείας τὸ ἥμισυ ἔσεσθαι, καὶ τοῦ
having-eaten-up said of-the booty the half to-be-going-to-be and of-the
δευτέρου τὸ λοιπόν. καὶ φθάσας κατηνάλωσε τὸ μέρος
second the rest and having-anticipated consumed the share
τὸ ἴδιον πρῶτος Ἴδας, καὶ τὸ τοῦ ἀδελφοῦ, καὶ μετ' ἐκείνου
the own first Idas and the of-the brother and with him
τὴν λείαν εἰς Μεσσήνην ἤλασε. στρατεύσαντες δὲ ἐπὶ
the booty to Messene drove having-marched and against
Μεσσήνην οἱ Διόσκουροι τήν τε λείαν ἐκείνην καὶ πολλὴν
Messene the Dioscuri the both booty that and much
ἄλλην συνελαύνουσι. καὶ τὸν Ἴδαν ἐλόχων καὶ τὸν Λυγκέα.
other drive-together and — Idas lay-in-wait-for and — Lynceus
Λυγκεὺς δὲ ἰδὼν Κάστορα ἐμήνυσεν Ἴδᾳ, κἀκεῖνος αὐτὸν
Lynceus and having-seen Castor revealed to-Idas and-he him
κτείνει. Πολυδεύκης δὲ ἐδίωξεν αὐτούς, καὶ τὸν μὲν Λυγκέα
kills Polydeuces and pursued them and the indeed Lynceus
κτείνει τὸ δόρυ προέμενος, τὸν δὲ Ἴδαν διώκων, βληθεὶς
kills the spear having-hurled the and Idas pursuing having-been-hit
ὑπ' ἐκείνου πέτρᾳ κατὰ τῆς κεφαλῆς, πίπτει σκοτωθείς.
by him with-a-rock on the head falls stunned
καὶ Ζεὺς Ἴδαν κεραυνοῖ, Πολυδεύκην δὲ εἰς οὐρανὸν
and Zeus Idas thunderstrikes Polydeuces and to sky
ἀνάγει. μὴ δεχομένου δὲ Πολυδεύκους τὴν ἀθανασίαν
takes-up not accepting and Polydeuces the immortality

ὄντος νεκροῦ Κάστορος, Ζεὺς ἀμφοτέροις παρ᾽ ἡμέραν
being dead Castor Zeus to-both on-alternate day
καὶ ἐν θεοῖς εἶναι καὶ ἐν θνητοῖς ἔδωκε. μεταστάντων
both among gods to-be and among mortals granted having-departed
δὲ εἰς θεοὺς τῶν Διοσκούρων, Τυνδάρεως μεταπεμψάμενος
and to gods the Dioscuri Tyndareus having-sent-for
Μενέλαον εἰς Σπάρτην τούτῳ τὴν βασιλείαν παρέδωκεν.
Menelaus to Sparta to-him the kingdom handed-over

III.12 · THE HOUSE OF TROY AND THE HOUSE OF AEACUS

Dardanus, son of Zeus and Electra, crosses from Samothrace and founds Dardania, and his line runs to Tros, Ilus, and Laomedon. Following a cow, Ilus founds Ilium, and Zeus sends him the Palladium. Laomedon's son Priam has many sons by Hecuba and other women; Hecuba dreams she will bear a firebrand, and the child Alexander, exposed on Ida, is nursed by a she-bear and reared by the servant Agelaus, recovers his parents, and marries Oenone. Then Asopus' daughter Aegina bears Aeacus to Zeus on the island named for her; Aeacus, most pious of men, keeps the keys of Hades. His sons Peleus and Telamon kill their half-brother Phocus at a game and are banished, and Telamon goes to Salamis, marries, and has by Periboea Ajax and by Hesione Teucer.

1 Ἠλέκτρας δὲ τῆς Ἄτλαντος καὶ Διὸς Ἰασίων καὶ
of-Electra and the daughter-of-Atlas and of-Zeus Iasion and
Δάρδανος ἐγένοντο. Ἰασίων μὲν οὖν ἐρασθεὶς
Dardanus were-born Iasion indeed then having-fallen-in-love
Δήμητρος καὶ θέλων καταισχῦναι τὴν θεὸν κεραυνοῦται,
Demeter and wishing to-violate the goddess is-thunderstruck
Δάρδανος δὲ ἐπὶ τῷ θανάτῳ τοῦ ἀδελφοῦ λυπούμενος,
Dardanus and at the death of-the brother grieving
Σαμοθράκην ἀπολιπὼν εἰς τὴν ἀντίπερα ἤπειρον ἦλθε.
Samothrace having-left to the opposite mainland came

ταύτης δὲ ἐβασίλευε Τεῦκρος ποταμοῦ Σκαμάνδρου
this and ruled Teucer of-river Scamander
καὶ νύμφης Ἰδαίας· ἀφ᾽ οὗ καὶ οἱ τὴν χώραν
and of-nymph Idaea after whom also the-ones the land
νεμόμενοι Τεῦκροι προσηγορεύοντο. ὑποδεχθεὶς δὲ ὑπὸ
inhabiting Teucrians were-called having-been-received and by
τοῦ βασιλέως, καὶ λαβὼν μέρος τῆς γῆς καὶ τὴν ἐκείνου
the king and having-got part of-the land and the his
θυγατέρα Βάτειαν, Δάρδανον ἔκτισε πόλιν· τελευτήσαντος
daughter Batia Dardanus founded a-city having-died
δὲ Τεύκρου τὴν χώραν ἅπασαν Δαρδανίαν ἐκάλεσε.
and Teucer the land all Dardania called
γενομένων δὲ αὐτῷ παίδων Ἴλου καὶ Ἐριχθονίου, Ἶλος 2
having-been-born and to-him sons Ilus and Erichthonius Ilus
μὲν ἄπαις ἀπέθανεν, Ἐριχθόνιος δὲ διαδεξάμενος τὴν
indeed childless died Erichthonius and having-succeeded-to the
βασιλείαν, γήμας Ἀστυόχην τὴν Σιμόεντος, τεκνοῖ
kingdom having-married Astyoche the daughter-of-Simois begets
Τρῶα. οὗτος παραλαβὼν τὴν βασιλείαν τὴν μὲν χώραν
Tros he having-received the kingdom the indeed land
ἀφ᾽ ἑαυτοῦ Τροίαν ἐκάλεσε, καὶ γήμας Καλλιρρόην τὴν
after himself Troy called and having-married Callirrhoe the
Σκαμάνδρου γεννᾷ θυγατέρα μὲν Κλεοπάτραν, παῖδας
daughter-of-Scamander begets a-daughter indeed Cleopatra sons
δὲ Ἶλον καὶ Ἀσσάρακον καὶ Γανυμήδην. τοῦτον μὲν οὖν
and Ilus and Assaracus and Ganymede him indeed then
διὰ κάλλος ἁναρπάσας Ζεὺς δι᾽ ἀετοῦ θεῶν οἰνοχόον
for beauty having-snatched-up Zeus through an-eagle of-gods cupbearer
ἐν οὐρανῷ κατέστησεν· Ἀσσαράκου δὲ καὶ Ἱερομνήμης τῆς
in sky set of-Assaracus and and of-Hieromneme the
Σιμόεντος Κάπυς, τοῦ δὲ καὶ Θεμίστης τῆς Ἴλου
daughter-of-Simois Capys of-him and and of-Themiste the daughter-of-Ilus

Ἀγχίσης, ᾧ δι᾽ ἐρωτικὴν ἐπιθυμίαν Ἀφροδίτη
Anchises with-whom through amorous desire Aphrodite
συνελθοῦσα Αἰνείαν ἐγέννησε καὶ Λύρον, ὃς ἄπαις ἀπέθανεν.
having-consorted Aeneas bore and Lyrus who childless died
3 Ἶλος δὲ εἰς Φρυγίαν ἀφικόμενος καὶ καταλαβὼν ὑπὸ
Ilus and to Phrygia having-come and having-found by
τοῦ βασιλέως αὐτόθι τεθειμένον ἀγῶνα νικᾷ πάλην· καὶ
the king there instituted games wins in-wrestling and
λαβὼν ἆθλον πεντήκοντα κόρους καὶ κόρας τὰς ἴσας,
having-received as-prize fifty youths and maidens the equal
δόντος αὐτῷ τοῦ βασιλέως κατὰ χρησμὸν καὶ βοῦν
having-given to-him the king according-to an-oracle also a-cow
ποικίλην, καὶ φράσαντος ἐν ᾧπερ ἂν αὐτὴ κλιθῇ
dappled and having-bidden in whichever-very — she lie-down
τόπῳ πόλιν κτίζειν, εἵπετο τῇ βοΐ. ἡ δὲ ἀφικομένη
place a-city to-found followed the cow she and having-come
ἐπὶ τὸν λεγόμενον τῆς Φρυγίας Ἄτης λόφον κλίνεται·
to the called of-the Phrygian of-Ate hill lies-down
ἔνθα πόλιν κτίσας Ἶλος ταύτην μὲν Ἴλιον ἐκάλεσε,
where a-city having-founded Ilus this indeed Ilium called
τῷ δὲ Διὶ σημεῖον εὐξάμενος αὐτῷ τι φανῆναι,
to-the and Zeus a-sign having-prayed to-him something to-appear
μεθ᾽ ἡμέραν τὸ διιπετὲς παλλάδιον πρὸ τῆς σκηνῆς
by day the fallen-from-heaven Palladium before the tent
κείμενον ἐθεάσατο. ἦν δὲ τῷ μεγέθει τρίπηχυ, τοῖς
lying he-beheld it-was and in-the size three-cubits in-the
δὲ ποσὶ συμβεβηκός, καὶ τῇ μὲν δεξιᾷ δόρυ διηρμένον
and feet joined and in-the indeed right a-spear raised
ἔχον τῇ δὲ ἑτέρᾳ ἠλακάτην καὶ ἄτρακτον.
having in-the and other a-distaff and spindle

ἱστορία δὲ ἡ περὶ τοῦ παλλαδίου τοιάδε φέρεται· φασὶ
story and the about the Palladium such is-told they-say
γεννηθεῖσαν τὴν Ἀθηνᾶν παρὰ Τρίτωνι τρέφεσθαι, ᾧ
born — Athena by Triton to-be-reared to-whom
θυγάτηρ ἦν Παλλάς· ἀμφοτέρας δὲ ἀσκούσας τὰ κατὰ
a-daughter was Pallas both and practicing the-things in
πόλεμον εἰς φιλονεικίαν ποτὲ προελθεῖν. μελλούσης δὲ
war into rivalry once to-have-come being-about and
πλήττειν τῆς Παλλάδος τὸν Δία φοβηθέντα τὴν αἰγίδα
to-strike — Pallas — Zeus having-feared the aegis
προτεῖναι, τὴν δὲ εὐλαβηθεῖσαν ἀναβλέψαι, καὶ οὕτως ὑπὸ
to-have-interposed she and having-been-startled to-have-looked-up and so by
τῆς Ἀθηνᾶς τρωθεῖσαν πεσεῖν. Ἀθηνᾶν δὲ περίλυπον ἐπ᾽
— Athena wounded to-have-fallen Athena and very-grieved over
αὐτῇ γενομένην, ξόανον ἐκείνης ὅμοιον κατασκευάσαι, καὶ
her having-become an-image of-her like to-have-made and
περιθεῖναι τοῖς στέρνοις ἣν ἔδεισεν αἰγίδα, καὶ τιμᾶν
to-have-put-round the breast which she-feared aegis and to-have-honored
ἱδρυσαμένην παρὰ τῷ Διί. ὕστερον δὲ Ἠλέκτρας κατὰ τὴν
having-set-it-up beside — Zeus later and Electra at the
φθορὰν τούτῳ προσφυγούσης, Δία ῥῖψαι τὸ παλλάδιον
violation to-this having-fled-for-refuge Zeus to-have-thrown the Palladium
εἰς τὴν Ἰλιάδα χώραν, Ἶλον δὲ τούτῳ ναὸν κατασκευάσαντα
into the Ilian land Ilus and for-it a-temple having-built
τιμᾶν. καὶ περὶ μὲν τοῦ παλλαδίου ταῦτα λέγεται.
to-honor and about indeed the Palladium these-things are-told
Ἶλος δὲ γήμας Εὐρυδίκην τὴν Ἀδράστου Λαομέδοντα
Ilus and having-married Eurydice the daughter-of-Adrastus Laomedon
ἐγέννησεν, ὃς γαμεῖ Στρυμὼ τὴν Σκαμάνδρου, κατὰ
begot who marries Strymo the daughter-of-Scamander according-to
δέ τινας Πλακίαν τὴν Ὀτρέως, κατ᾽ ἐνίους δὲ
but some Placia the daughter-of-Otreus according-to some and

Λευκίππην, καὶ τεκνοῖ παῖδας μὲν Τιθωνὸν Λάμπον
Leucippe and begets sons indeed Tithonus Lampus
Κλυτίον Ἱκετάονα Ποδάρκην, θυγατέρας δὲ Ἡσιόνην καὶ
Clytius Hicetaon Podarces daughters and Hesione and
Κίλλαν καὶ Ἀστυόχην, ἐκ δὲ νύμφης Καλύβης Βουκολίωνα.
Cilla and Astyoche by and nymph Calybe Bucolion
4 Τιθωνὸν μὲν οὖν Ἠὼς ἁρπάσασα δι' ἔρωτα εἰς
Tithonus indeed then Dawn having-snatched through love to
Αἰθιοπίαν κομίζει, κἀκεῖ συνελθοῦσα γεννᾷ παῖδας
Ethiopia carries and-there having-consorted bears sons
Ἡμαθίωνα καὶ Μέμνονα.
Emathion and Memnon
5 μετὰ δὲ τὸ αἱρεθῆναι Ἴλιον ὑπὸ Ἡρακλέους, ὡς μικρὸν
after and the to-have-been-taken Ilium by Heracles as a-little
πρόσθεν ἡμῖν λέλεκται, ἐβασίλευσε Ποδάρκης ὁ κληθεὶς
before by-us it-has-been-told reigned Podarces the-one called
Πρίαμος· καὶ γαμεῖ πρώτην Ἀρίσβην τὴν Μέροπος, ἐξ
Priam and marries first Arisbe the daughter-of-Merops from
ἧς αὐτῷ παῖς Αἴσακος γίνεται, ὃς ἔγημεν Ἀστερόπην τὴν
whom to-him a-son Aesacus is-born who married Asterope the
Κεβρῆνος θυγατέρα, ἣν πενθῶν ἀποθανοῦσαν ἀπωρνεώθη.
of-Cebren daughter whom mourning dead became-a-bird
Πρίαμος δὲ Ἀρίσβην ἐκδοὺς Ὑρτάκῳ δευτέραν ἔγημεν
Priam and Arisbe having-given-away to-Hyrtacus second married
Ἑκάβην τὴν Δύμαντος, ἢ ὥς τινές φασι Κισσέως, ἢ ὡς
Hecuba the daughter-of-Dymas or as some say of-Cisseus or as
ἕτεροι λέγουσι Σαγγαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται
others say of-Sangarius river and of-Metope is-born
δὲ αὐτῇ πρῶτος μὲν Ἕκτωρ· δευτέρου δὲ γεννᾶσθαι
and to-her first indeed Hector second and to-be-born
μέλλοντος βρέφους ἔδοξεν Ἑκάβη καθ' ὕπνους δαλὸν τεκεῖν
being-about babe seemed Hecuba in sleep a-brand to-bear

διάπυρον, τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ
fiery this and all to-spread-over the city and
καίειν. μαθὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸν ὄνειρον,
to-burn having-learned and Priam from Hecuba the dream
Αἴσακον τὸν υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης
Aesacus the son sent-for he-was for dream-interpreter
παρὰ τοῦ μητροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν
by the mother's-father Merops taught he having-said
τῆς πατρίδος γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ
of-the fatherland to-be the child destruction to-expose the
βρέφος ἐκέλευε. Πρίαμος δέ, ὡς ἐγεννήθη τὸ βρέφος,
babe bade Priam and when was-born the babe
δίδωσιν ἐκθεῖναι οἰκέτῃ κομίσαντι εἰς Ἴδην· ὁ δὲ οἰκέτης
gives to-expose to-a-servant to-carry to Ida the and servant
Ἀγέλαος ὠνομάζετο. τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος
Agelaus was-named the and exposed by him babe
πέντ' ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη. ὁ δὲ σωζόμενον εὑρὼν
five days by a-she-bear was-nursed he and saved having-found
ἀναιρεῖται, καὶ κομίσας ἐπὶ τῶν χωρίων ὡς ἴδιον παῖδα
takes-up and having-carried to the fields as own child
ἔτρεφεν, ὀνομάσας Πάριν. γενόμενος δὲ νεανίσκος καὶ
reared having-named Paris having-become and a-youth and
πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ αὖθις Ἀλέξανδρος
than-many excelling in-beauty both and in-strength later Alexander
προσωνομάσθη, λῃστὰς ἀμυνόμενος καὶ τοῖς ποιμνίοις
was-surnamed robbers repelling and for-the flocks
ἀλεξήσας. καὶ μετ' οὐ πολὺ τοὺς γονέας ἀνεῦρε.
having-defended and after not long the parents found
μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν Κρέουσαν
after him bore Hecuba daughters indeed Creusa
Λαοδίκην Πολυξένην Κασάνδραν, ᾗ συνελθεῖν
Laodice Polyxena Cassandra with-whom to-consort

βουλόμενος Ἀπόλλων τὴν μαντικὴν ὑπέσχετο διδάξειν.
wishing Apollo the prophetic-art promised to-be-going-to-teach
ἡ δὲ μαθοῦσα οὐ συνῆλθεν· ὅθεν Ἀπόλλων ἀφείλετο
she and having-learned not consorted whence Apollo took-away
τῆς μαντικῆς αὐτῆς τὸ πείθειν. αὖθις δὲ παῖδας ἐγέννησε
of-the prophecy her the to-persuade later and sons she-bore
Δηίφοβον Ἕλενον Πάμμονα Πολίτην Ἄντιφον Ἱππόνοον
Deiphobus Helenus Pammon Polites Antiphus Hipponous
Πολύδωρον Τρωίλον· τοῦτον ἐξ Ἀπόλλωνος λέγεται
Polydorus Troilus him by Apollo she-is-said
γεγεννηκέναι.
to-have-begotten
ἐκ δὲ ἄλλων γυναικῶν Πριάμῳ παῖδες γίνονται
by and other women to-Priam sons are-born
Μελάνιππος Γοργυθίων Φιλαίμων Ἱππόθοος Γλαῦκος,
Melanippus Gorgythion Philaemon Hippothous Glaucus
Ἀγάθων Χερσιδάμας Εὐαγόρας Ἱπποδάμας Μήστωρ,
Agathon Chersidamas Evagoras Hippodamas Mestor
Ἄτας Δόρυκλος Λυκάων Δρύοψ Βίας, Χρομίος Ἀστύγονος
Atas Doryclus Lycaon Dryops Bias Chromius Astygonus
Τελέστας Εὔανδρος Κεβριόνης, Μύλιος Ἀρχέμαχος Λαοδόκος
Telestas Evander Cebriones Mylius Archemachus Laodocus
Ἐχέφρων Ἰδομενεύς, Ὑπερίων Ἀσκάνιος Δημοκόων Ἄρητος
Echephron Idomeneus Hyperion Ascanius Democoon Aretus
Δηιοπίτης, Κλονίος Ἐχέμμων Ὑπείροχος Αἰγεωνεὺς
Deiopites Clonius Echemmon Hypirochus Aegeoneus
Λυσίθοος Πολυμέδων, θυγατέρες δὲ Μέδουσα Μηδεσικάστη
Lysithous Polymedon daughters and Medusa Medesicaste
Λυσιμάχη Ἀριστοδήμη.
Lysimache Aristodeme

Ἕκτωρ μὲν οὖν Ἀνδρομάχην τὴν Ἠετίωνος γαμεῖ, 6
Hector indeed then Andromache the daughter-of-Eetion marries
Ἀλέξανδρος δὲ Οἰνώνην τὴν Κεβρῆνος τοῦ ποταμοῦ
Alexander and Oenone the of-Cebren the river
θυγατέρα. αὕτη παρὰ Ῥέας τὴν μαντικὴν μαθοῦσα
daughter she from Rhea the prophetic-art having-learned
προέλεγεν Ἀλεξάνδρῳ μὴ πλεῖν ἐπὶ Ἑλένην. μὴ πείθουσα
warned to-Alexander not to-sail for Helen not persuading
δὲ εἶπεν, ἐὰν τρωθῇ, παραγενέσθαι πρὸς αὐτήν· μόνην
and she-said if he-be-wounded to-come to her alone
γὰρ θεραπεῦσαι δύνασθαι. τὸν δὲ Ἑλένην ἐκ Σπάρτης
for to-heal to-be-able him but Helen from Sparta
ἁρπάσαι, πολεμουμένης δὲ Τροίας τοξευθέντα ὑπὸ
to-carry-off being-warred-on and Troy shot by
Φιλοκτήτου τόξοις Ἡρακλείοις πρὸς Οἰνώνην ἐπανελθεῖν
Philoctetes with-arrows of-Heracles to Oenone to-return
εἰς Ἴδην. ἡ δὲ μνησικακοῦσα θεραπεύσειν οὐκ ἔφη.
to Ida she and bearing-a-grudge to-be-going-to-heal not said
Ἀλέξανδρος μὲν οὖν εἰς Τροίαν κομιζόμενος ἐτελεύτα,
Alexander indeed then to Troy being-carried died
Οἰνώνη δὲ μετανοήσασα τὰ πρὸς θεραπείαν φάρμακα
Oenone and having-repented the for healing drugs
ἔφερε, καὶ καταλαβοῦσα αὐτὸν νεκρὸν ἑαυτὴν ἀνήρτησεν.
brought and having-found him dead herself hanged
ὁ δὲ Ἀσωπὸς ποταμὸς Ὠκεανοῦ καὶ Τηθύος, ὡς
the and Asopus river of-Ocean and of-Tethys as
δὲ Ἀκουσίλαος λέγει, Πηροῦς καὶ Ποσειδῶνος, ὡς δέ
but Acusilaus says of-Pero and of-Poseidon as but
τινες, Διὸς καὶ Εὐρυνόμης. τούτῳ Μετώπη γημαμένη
some of-Zeus and of-Eurynome to-him Metope having-been-married
(Λάδωνος δὲ τοῦ ποταμοῦ θυγάτηρ αὕτη) δύο μὲν παῖδας
of-Ladon and the river daughter she two indeed sons

ἐγέννησεν, Ἰσμηνὸν καὶ Πελάγοντα, εἴκοσι δὲ θυγατέρας,
bore Ismenus and Pelagon twenty and daughters
ὧν μὲν μίαν Αἴγιναν ἥρπασε Ζεύς. ταύτην Ἀσωπὸς
of-whom indeed one Aegina carried-off Zeus her Asopus
ζητῶν ἦκεν εἰς Κόρινθον, καὶ μανθάνει παρὰ Σισύφου τὸν
seeking came to Corinth and learns from Sisyphus the-one
ἡρπακότα εἶναι Δία. Ζεὺς δὲ Ἀσωπὸν μὲν κεραυνώσας
having-carried-off to-be Zeus Zeus and Asopus indeed having-thunderstruck
διώκοντα πάλιν ἐπὶ τὰ οἰκεῖα ἀπέπεμψε ῥεῖθρα (διὰ τοῦτο
pursuing back to the own sent streams for this
μέχρι καὶ νῦν ἐκ τῶν τούτου ῥείθρων ἄνθρακες φέρονται),
until even now from the his streams coals are-carried
Αἴγιναν δὲ κομίσας εἰς τὴν τότε Οἰνώνην λεγομένην
Aegina and having-brought to the then Oenone called
νῆσον, νῦν δὲ Αἴγιναν ἀπ᾽ ἐκείνης κληθεῖσαν, μίγνυται,
island now but Aegina after her called has-intercourse
καὶ τεκνοῖ παῖδα ἐξ αὐτῆς Αἰακόν. τούτῳ Ζεὺς ὄντι μόνῳ
and begets a-son by her Aeacus for-him Zeus being alone
ἐν τῇ νήσῳ τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε. γαμεῖ
in the island the ants men made marries
δὲ Αἰακὸς Ἐνδηΐδα τὴν Σκείρωνος, ἐξ ἧς αὐτῷ παῖδες
and Aeacus Endeis the daughter-of-Sciron by whom to-him sons
ἐγένοντο Πηλεύς τε καὶ Τελαμών. Φερεκύδης δέ φησι
were-born Peleus both and Telamon Pherecydes but says
Τελαμῶνα φίλον, οὐκ ἀδελφὸν Πηλέως εἶναι, ἀλλ᾽ Ἀκταίου
Telamon friend not brother of-Peleus to-be but of-Actaeus
παῖδα καὶ Γλαύκης τῆς Κυχρέως. μίγνυται δὲ αὖθις
son and of-Glauce the daughter-of-Cychreus has-intercourse and again
Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς φώκην ἠλλαγμένῃ
Aeacus with-Psamathe the daughter-of-Nereus into a-seal changed
διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον.
through the not to-wish to-consort and begets a-son Phocus

ἦν δὲ εὐσεβέστατος πάντων Αἰακός. διὸ καὶ τὴν Ἑλλάδα
was and most-pious of-all Aeacus wherefore also — Greece
κατεχούσης ἀφορίας διὰ Πέλοπα, ὅτι Στυμφάλῳ τῷ
holding barrenness because-of Pelops because Stymphalus the
βασιλεῖ τῶν Ἀρκάδων πολεμῶν καὶ τὴν Ἀρκαδίαν ἑλεῖν
king of-the Arcadians warring-on and — Arcadia to-take
μὴ δυνάμενος, προσποιησάμενος φιλίαν ἔκτεινεν αὐτὸν καὶ
not being-able having-feigned friendship he-killed him and
διέσπειρε μελίσας, χρησμοὶ θεῶν ἔλεγον ἀπαλλαγήσεσθαι
scattered having-cut-up oracles of-gods said to-be-going-to-be-rid
τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα, ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς
of-the present evils — Greece if Aeacus for it
εὐχὰς ποιήσηται ποιησαμένου δὲ εὐχὰς Αἰακοῦ τῆς ἀκαρπίας
prayers should-make having-made and prayers Aeacus of-the barrenness
ἡ Ἑλλὰς ἀπαλλάττεται. τιμᾶται δὲ καὶ παρὰ Πλούτωνι
— Greece is-rid is-honored and also with Pluto
τελευτήσας Αἰακός, καὶ τὰς κλεῖς τοῦ Ἅιδου φυλάττει.
having-died Aeacus and the keys — of-Hades guards
διαφέροντος δὲ ἐν τοῖς ἀγῶσι Φώκου, τοὺς ἀδελφοὺς
excelling and in the contests Phocus the brothers
Πηλέα καὶ Τελαμῶνα ἐπιβουλεῦσαι· καὶ λαχὼν κλήρῳ
Peleus and Telamon to-have-plotted and having-been-chosen by-lot
Τελαμὼν συγγυμναζόμενον αὐτὸν βαλὼν δίσκῳ κατὰ
Telamon exercising-with-him him having-hit with-a-quoit on
τῆς κεφαλῆς κτείνει, καὶ κομίσας μετὰ Πηλέως κρύπτει
the head kills and having-carried with Peleus hides
κατά τινος ὕλης. φωραθέντος δὲ τοῦ φόνου φυγάδες ἀπὸ
in a wood detected and the murder fugitives from
Αἰγίνης ὑπὸ Αἰακοῦ ἐλαύνονται.
Aegina by Aeacus are-driven

7 καὶ Τελαμὼν μὲν εἰς Σαλαμῖνα παραγίνεται πρὸς
and Telamon indeed to Salamis comes to
Κυχρέα τὸν Ποσειδῶνος καὶ Σαλαμῖνος τῆς Ἀσωποῦ.
Cychreus the son-of-Poseidon and of-Salamis the daughter-of-Asopus
κτείνας δὲ ὄφιν οὗτος ἀδικοῦντα τὴν νῆσον αὐτῆς
having-killed and a-snake he ravaging the island of-it
ἐβασίλευε, καὶ τελευτῶν ἄπαις τὴν βασιλείαν παραδίδωσι
reigned and dying childless the kingdom hands-over
Τελαμῶνι. ὁ δὲ γαμεῖ Περίβοιαν τὴν Ἀλκάθου τοῦ
to-Telamon he and marries Periboea the daughter-of-Alcathus the
Πέλοπος· καὶ ποιησαμένου εὐχὰς Ἡρακλέους ἵνα αὐτῷ
son-of-Pelops and having-made prayers Heracles that to-him
παῖς ἄρρην γένηται, φανέντος δὲ μετὰ τὰς εὐχὰς αἰετοῦ,
a-son male be-born having-appeared and after the prayers an-eagle
τὸν γεννηθέντα ἐκάλεσεν Αἴαντα. καὶ στρατευσάμενος
the-one born he-called Ajax and having-marched
ἐπὶ Τροίαν σὺν Ἡρακλεῖ λαμβάνει γέρας Ἡσιόνην τὴν
against Troy with Heracles receives as-prize Hesione the
Λαομέδοντος θυγατέρα, ἐξ ἧς αὐτῷ γίνεται Τεῦκρος.
of-Laomedon daughter by whom to-him is-born Teucer

Peleus, exiled, kills his purifier Eurytion by accident at the Calydonian hunt. Falsely accused by Acastus' wife, he is left asleep on Pelion without his sword until Chiron saves him; later he sacks Iolcus and kills her. Zeus and Poseidon give up Thetis when Themis foretells a son mightier than his father, and Peleus wins her by holding her through all her changes of shape. Thetis tries to make their child immortal in the fire and leaves when Peleus cries out; Achilles is reared by Chiron. Since Troy cannot be taken without him, Thetis hides him dressed as a girl at Lycomedes' court, where he begets Neoptolemus, until Odysseus discovers him; Phoenix and Patroclus go with him.

Πηλεὺς δὲ εἰς Φθίαν φυγὼν πρὸς Εὐρυτίωνα τὸν Ἄκτορος 1
Peleus and to Phthia having-fled to Eurytion the son-of-Actor
ὑπ' αὐτοῦ καθαίρεται, καὶ λαμβάνει παρ' αὐτοῦ τὴν θυγατέρα
by him is-purified and receives from him the daughter
Ἀντιγόνην καὶ τῆς χώρας τὴν τρίτην μοῖραν. καὶ γίνεται
Antigone and of-the land the third part and is-born
θυγάτηρ αὐτῷ Πολυδώρα, ἣν ἔγημε Βῶρος ὁ Περιήρους.
a-daughter to-him Polydora whom married Borus the son-of-Perieres
ἐντεῦθεν ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου μετ' 2
from-there to the hunt of-the Calydonian boar with
Εὐρυτίωνος ἐλθών, προέμενος ἐπὶ τὸν σῦν ἀκόντιον
Eurytion having-gone having-hurled at the boar a-javelin
Εὐρυτίωνος τυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν
Eurytion hits and kills him unwilling again then
ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται
from Phthia having-fled to Iolcus to Acastus comes
καὶ ὑπ' αὐτοῦ καθαίρεται.
and by him is-purified

3 ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Πελίᾳ ἀγῶνα, πρὸς
contends and also the in-honor-of Pelias games against
Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια ἡ Ἀκάστου γυνή,
Atalanta having-wrestled and Astydamia the of-Acastus wife
Πηλέως ἐρασθεῖσα, περὶ συνουσίας προσέπεμψεν αὐτῷ
with-Peleus having-fallen-in-love about intercourse sent to-him
λόγους. μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα αὐτοῦ
proposals not being-able and to-persuade to the wife his
πέμψασα ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην τὴν Ἀκάστου
having-sent said to-be-about Peleus to-marry Sterope the of-Acastus
θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα ἀγχόνην ἀνάπτει.
daughter and this she having-heard a-noose fastens
Πηλέως δὲ πρὸς Ἄκαστον καταψεύδεται, λέγουσα ὑπ᾽
Peleus and to Acastus falsely-accuses saying by
αὐτοῦ περὶ συνουσίας πεπειρᾶσθαι. Ἄκαστος δὲ ἀκούσας
him about intercourse to-have-been-tempted Acastus and having-heard
κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβουλήθη, ἄγει δὲ αὐτὸν ἐπὶ
to-kill indeed whom he-had-purified not wished leads but him to
θήραν εἰς τὸ Πήλιον. ἔνθα ἁμίλλης περὶ θήρας γενομένης,
a-hunt to — Pelion where rivalry about hunting having-arisen
Πηλεὺς μὲν ὧν ἐχειροῦτο θηρίων τὰς γλώσσας τούτων
Peleus indeed of-what he-killed beasts the tongues of-these
ἐκτεμὼν εἰς πήραν ἐτίθει, οἱ δὲ μετὰ Ἀκάστου ταῦτα
having-cut-out into wallet put the-ones and with Acastus these
χειρούμενοι κατεγέλων ὡς μηδὲν τεθηρακότος τοῦ Πηλέως.
killing derided as nothing having-hunted — Peleus
ὁ δὲ τὰς γλώσσας παρασχόμενος ὅσας εἶχεν ἐκείνοις,
he and the tongues having-produced as-many-as he-had to-them
τοσαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος δὲ αὐτοῦ ἐν
so-many said to-have-hunted having-fallen-asleep and him on
τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ
— Pelion having-left Acastus and the sword in the

τῶν βοῶν κόπρῳ κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς
of-the cows dung having-hidden returns he and having-risen
καὶ ζητῶν τὴν μάχαιραν, ὑπὸ τῶν Κενταύρων καταληφθεὶς
and seeking the sword by the Centaurs caught
ἔμελλεν ἀπόλλυσθαι, σώζεται δὲ ὑπὸ Χείρωνος· οὗτος καὶ
was-about to-perish is-saved but by Chiron he also
τὴν μάχαιραν αὐτοῦ ἐκζητήσας δίδωσι.
the sword his having-sought-out gives
γαμεῖ δὲ ὁ Πηλεὺς Πολυδώραν τὴν Περιήρους, ἐξ ἧς 4
marries and — Peleus Polydora the daughter-of-Perieres by whom
αὐτῷ γίνεται Μενέσθιος ἐπίκλην, ὁ Σπερχειοῦ τοῦ ποταμοῦ.
to-him is-born Menesthius by-repute the son-of-Spercheus the river
αὖθις δὲ γαμεῖ Θέτιν τὴν Νηρέως, περὶ ἧς τοῦ γάμου 5
again and he-marries Thetis the daughter-of-Nereus for whose the marriage
Ζεὺς καὶ Ποσειδῶν ἤρισαν, Θέμιδος δὲ θεσπιῳδούσης
Zeus and Poseidon strove Themis and prophesying
ἔσεσθαι τὸν ἐκ ταύτης γεννηθέντα κρείττονα τοῦ
to-be-going-to-be the-one from her born mightier than-the
πατρὸς ἀπέσχοντο. ἔνιοι δέ φασι, Διὸς ὁρμῶντος ἐπὶ τὴν
father they-abstained some but say Zeus rushing to the
ταύτης συνουσίαν, εἰρηκέναι Προμηθέα τὸν ἐκ ταύτης
her intercourse to-have-said Prometheus the-one from her
αὐτῷ γεννηθέντα οὐρανοῦ δυναστεύσειν. τινὲς δὲ λέγουσι
to-him born of-sky to-be-going-to-be-lord some and say
Θέτιν μὴ βουληθῆναι Διὶ συνελθεῖν ὡς ὑπὸ Ἥρας
Thetis not to-have-wished with-Zeus to-consort as by Hera
τραφεῖσαν, Δία δὲ ὀργισθέντα θνητῷ θέλειν αὐτὴν
reared Zeus and enraged with-a-mortal to-wish her
συνοικίσαι. Χείρωνος οὖν ὑποθεμένου Πηλεῖ συλλαβεῖν
to-wed Chiron then having-advised to-Peleus to-seize
καὶ κατασχεῖν αὐτὴν μεταμορφουμένην, ἐπιτηρήσας
and to-hold her changing-shape having-watched-for

συναρπάζει, γινομένην δὲ ὁτὲ μὲν πῦρ ὁτὲ δὲ
snatches becoming and at-one-time indeed fire at-another and
ὕδωρ ὁτὲ δὲ θηρίον οὐ πρότερον ἀνῆκε πρὶν ἢ τὴν
water at-another and a-beast not before he-let-go before than the
ἀρχαίαν μορφὴν εἶδεν ἀπολαβοῦσαν. γαμεῖ δὲ ἐν τῷ
original shape he-saw having-recovered marries and on —
Πηλίῳ, κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνησαν.
Pelion and-there gods the marriage feasting hymned
καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μείλινον, Ποσειδῶν δὲ
and gives Chiron to-Peleus a-spear ashen Poseidon and
ἵππους Βαλίον καὶ Ξάνθον· ἀθάνατοι δὲ ἦσαν οὗτοι.
horses Balius and Xanthus immortal and were these
6 ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον θέλουσα
when and bore Thetis by Peleus a-babe immortal wishing
ποιῆσαι τοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρύβουσα
to-make it secretly from-Peleus in the fire hiding
τῆς νυκτὸς ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον, μεθ᾽
by-the night she-destroyed what was in-him mortal paternal by
ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας
day and she-anointed with-ambrosia Peleus and having-watched
καὶ σπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς ἐβόησε·
and struggling the child having-seen on the fire cried-out
καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον
and Thetis prevented the purpose to-complete infant
τὸν παῖδα ἀπολιποῦσα πρὸς Νηρηίδας ᾤχετο. κομίζει δὲ
the child having-left to Nereids went brings and
τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. ὁ δὲ λαβὼν αὐτὸν
the child to Chiron Peleus he and having-received him
ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων
reared with-bowels of-lions and of-swine wild and of-bears

μυελοῖς, καὶ ὠνόμασεν Ἀχιλλέα (πρότερον δὲ ἦν ὄνομα
marrows and named Achilles before and was name
αὐτῷ Λιγύρων) ὅτι τὰ χείλη μαστοῖς οὐ προσήνεγκε.
to-him Ligyron because the lips to-breasts not he-had-put
Πηλεὺς δὲ μετὰ ταῦτα σὺν Ἰάσονι καὶ Διοσκούροις 7
Peleus and after these-things with Jason and Dioscuri
ἐπόρθησεν Ἰωλκόν, καὶ Ἀστυδάμειαν τὴν Ἀκάστου γυναῖκα
laid-waste Iolcus and Astydamia the of-Acastus wife
φονεύει, καὶ διελὼν μεληδὸν διήγαγε δι᾽ αὐτῆς τὸν
murders and having-cut-up limb-by-limb led through her the
στρατὸν εἰς τὴν πόλιν.
army into the city
ὡς δὲ ἐγένετο ἐννaετὴς Ἀχιλλεύς, Κάλχαντος λέγοντος οὐ 8
when and was nine-years-old Achilles Calchas saying not
δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι, Θέτις προειδυῖα
to-be-able without him Troy to-be-taken Thetis foreseeing
ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέσθαι, κρύψασα
that it-is-necessary marching him to-perish having-hidden
ἐσθῆτι γυναικείᾳ ὡς παρθένον Λυκομήδει παρέθετο. κἀκεῖ
in-garb feminine as a-maiden with-Lycomedes entrusted and-there
τρεφόμενος τῇ Λυκομήδους θυγατρὶ Δηιδαμείᾳ μίγνυται,
being-reared with-the of-Lycomedes daughter Deidamia has-intercourse
καὶ γίνεται παῖς Πύρρος αὐτῷ ὁ κληθεὶς Νεοπτόλεμος
and is-born a-son Pyrrhus to-him the-one called Neoptolemus
ὕστερον. Ὀδυσσεὺς δὲ μηνυθέντα παρὰ Λυκομήδει ζητῶν
later Odysseus and informed-against with Lycomedes seeking
Ἀχιλλέα, σάλπιγγι χρησάμενος εὗρε. καὶ τοῦτον τὸν
Achilles with-a-trumpet having-used found and this the
τρόπον εἰς Τροίαν ἦλθε.
way to Troy he-went

συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ Ἀμύντορος. οὗτος ὑπὸ τοῦ
accompanied and him Phoenix the son-of-Amyntor he by the
πατρὸς ἐτυφλώθη καταψευσαμένης φθορὰν Φθίας τῆς
father was-blinded having-falsely-accused-him of-seduction Phthia the
τοῦ πατρὸς παλλακῆς. Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα
of-the father concubine Peleus and him to Chiron
κομίσας, ὑπ᾽ ἐκείνου θεραπευθέντα τὰς ὄψεις βασιλέα
having-brought by him healed in-the eyes king
κατέστησε Δολόπων.
set of-Dolopes
συνείπετο δὲ καὶ Πάτροκλος ὁ Μενοιτίου καὶ Σθενέλης τῆς
accompanied and also Patroclus the son-of-Menoetius and of-Sthenele the
Ἀκάστου ἢ Περιώπιδος τῆς Φέρητος, ἢ καθάπερ φησὶ
daughter-of-Acastus or of-Periopis the daughter-of-Pheres or as says
Φιλοκράτης, Πολυμήλης τῆς Πηλέως. οὗτος ἐν Ὀποῦντι
Philocrates of-Polymele the daughter-of-Peleus he in Opus
διενεχθεὶς ἐν παιδιᾷ περὶ ἀστραγάλων παῖδα Κλειτώνυμον
having-quarreled in a-game about knuckle-bones a-boy Clitonymus
τὸν Ἀμφιδάμαντος ἀπέκτεινε, καὶ φυγὼν μετὰ τοῦ πατρὸς
the son-of-Amphidamas killed and having-fled with the father
παρὰ Πηλεῖ κατῴκει, καὶ Ἀχιλλέως ἐρώμενος γίνεται. ***
with Peleus dwelt and of-Achilles beloved becomes (lacuna)

Cecrops, half man and half serpent, is the first king of Attica, and under him Athena and Poseidon contend for the land; Poseidon strikes a sea from the Acropolis, Athena plants the olive, and the gods award the country to her. Cephalus, son of Herse, is carried off by Dawn. After Cranaus and Amphictyon, Erichthonius, born of Hephaestus' seed on the earth, is reared by Athena in a chest, which the daughters of Cecrops open, and he founds the Panathenaea. Under his son Pandion Demeter and Dionysus come to Attica, and Icarius is murdered by the shepherds he taught to drink. Pandion's daughter Procne marries Tereus of Thrace, who rapes her sister Philomela and cuts out her tongue; Procne kills their son Itys and serves him to Tereus, and the three become birds.

Κέκροψ αὐτόχθων, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ 1
Cecrops earth-born grown-together having body of-man and
δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος, καὶ τὴν γῆν
of-dragon — over-Attica reigned first and the land
πρότερον λεγομένην Ἀκτὴν ἀφ' ἑαυτοῦ Κεκροπίαν ὠνόμασεν.
formerly called Acte after himself Cecropia named
ἐπὶ τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι,
in his they-say it-seemed-good to-the gods cities to-take-possession-of
ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. ἦκεν οὖν
in which they-were-about to-have honors own each came then
πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πλήξας τῇ
first Poseidon to — Attica and having-struck with-the
τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀπέφηνε θάλασσαν, ἣν
trident in middle the acropolis produced a-sea which
νῦν Ἐρεχθηίδα καλοῦσι. μετὰ δὲ τοῦτον ἦκεν Ἀθηνᾶ, καὶ
now Erechtheis they-call after and him came Athena and
ποιησαμένη τῆς καταλήψεως Κέκροπα μάρτυρα ἐφύτευσεν
having-made of-the taking-possession Cecrops witness planted
ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ δείκνυται. γενομένης δὲ
an-olive which now in — Pandrosium is-shown having-arisen and

ἔριδος ἀμφοῖν περὶ τῆς χώρας, διαλύσας Ζεὺς κριτὰς
strife of-both about the land having-parted-them Zeus arbiters
ἔδωκεν, οὐχ ὡς εἶπόν τινες, Κέκροπα καὶ Κραναόν, οὐδὲ
gave not as said some Cecrops and Cranaus nor
Ἐρυσίχθονα, θεοὺς δὲ τοὺς δώδεκα. καὶ τούτων δικαζόντων
Erysichthon gods but the twelve and these judging
ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος ὅτι
the land — of-Athena was-adjudged Cecrops having-borne-witness that
πρώτη τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν οὖν ἀφ' ἑαυτῆς τὴν
first the olive she-planted Athena indeed then after herself the
πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν δὲ θυμῷ ὀργισθεὶς τὸ
city called Athens Poseidon and in-wrath having-been-angered the
Θριάσιον πεδίον ἐπέκλυσε καὶ τὴν Ἀττικὴν ὕφαλον ἐποίησε.
Thriasian plain flooded and — Attica under-sea made

2 Κέκροψ δὲ γήμας τὴν Ἀκταίου κόρην Ἄγραυλον παῖδα
Cecrops and having-married the of-Actaeus daughter Agraulus a-son
μὲν ἔσχεν Ἐρυσίχθονα, ὃς ἄτεκνος μετήλλαξε, θυγατέρας
indeed had Erysichthon who childless departed daughters
δὲ Ἄγραυλον Ἕρσην Πάνδροσον. Ἀγραύλου μὲν οὖν καὶ
and Agraulus Herse Pandrosus of-Agraulus indeed then and
Ἄρεος Ἀλκίππη γίνεται. ταύτην βιαζόμενος Ἁλιρρόθιος,
of-Ares Alcippe is-born her violating Halirrhothius
ὁ Ποσειδῶνος καὶ νύμφης Εὐρύτης, ὑπὸ Ἄρεος φωραθεὶς
the son-of-Poseidon and of-nymph Euryte by Ares detected
κτείνεται. Ποσειδῶνος δὲ εἰσάγοντος ἐν Ἀρείῳ πάγῳ
is-killed Poseidon and prosecuting on of-Ares hill
κρίνεται δικαζόντων τῶν δώδεκα θεῶν Ἄρης καὶ ἀπολύεται.
is-tried judging the twelve gods Ares and is-acquitted

3 Ἕρσης δὲ καὶ Ἑρμοῦ Κέφαλος, οὗ ἐρασθεῖσα Ἠὼς
of-Herse and and of-Hermes Cephalus whom having-fallen-in-love Dawn
ἥρπασε καὶ μιγεῖσα ἐν Συρίᾳ παῖδα ἐγέννησε
carried-off and having-had-intercourse in Syria a-son bore

Τιθωνόν, οὗ παῖς ἐγένετο Φαέθων, τούτου δὲ Ἀστύνοος,
Tithonus of-whom son was Phaethon of-him and Astynous
τοῦ δὲ Σάνδοκος, ὃς ἐκ Συρίας ἐλθὼν εἰς Κιλικίαν,
of-him and Sandocus who from Syria having-come to Cilicia
πόλιν ἔκτισε Κελένδεριν, καὶ γήμας Φαρνάκην τὴν
a-city founded Celenderis and having-married Pharnace the
Μεγασσάρου τοῦ Ὑριέων βασιλέως ἐγέννησε Κινύραν.
daughter-of-Megassares the of-Hyrieans king begot Cinyras
οὗτος ἐν Κύπρῳ, παραγενόμενος σὺν λαῷ, ἔκτισε Πάφον,
he in Cyprus having-arrived with people founded Paphos
γήμας δὲ ἐκεῖ Μεθάρμην, κόρην Πυγμαλίωνος Κυπρίων
having-married and there Metharme daughter of-Pygmalion of-Cyprians
βασιλέως, Ὀξύπορον ἐγέννησε καὶ Ἄδωνιν, πρὸς δὲ
king Oxyporus begot and Adonis besides and
τούτοις θυγατέρας Ὀρσεδίκην καὶ Λαογόρην καὶ Βραισίαν.
these daughters Orsedice and Laogore and Braesia
αὗται δὲ διὰ μῆνιν Ἀφροδίτης ἀλλοτρίοις ἀνδράσι
they and through wrath of-Aphrodite with-strange men
συνευναζόμεναι τὸν βίον ἐν Αἰγύπτῳ μετήλλαξαν.
sleeping the life in Egypt ended
Ἄδωνις δὲ ἔτι παῖς ὢν Ἀρτέμιδος χόλῳ πληγεὶς ἐν 4
Adonis and still child being of-Artemis by-wrath smitten in
θήρᾳ ὑπὸ συὸς ἀπέθανεν. Ἡσίοδος δὲ αὐτὸν Φοίνικος καὶ
hunting by a-boar died Hesiod but him of-Phoenix and
Ἀλφεσιβοίας λέγει, Πανύασις δέ φησι Θείαντος βασιλέως
of-Alphesiboea calls Panyasis but says of-Thias king
Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν. αὕτη κατὰ μῆνιν
of-Assyrians who had a-daughter Smyrna she by wrath
Ἀφροδίτης (οὐ γὰρ αὐτὴν ἐτίμα) ἔσχει τοῦ πατρὸς ἔρωτα,
of-Aphrodite not for her she-honored conceives for-the father love
καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν ἀγνοοῦντι τῷ πατρὶ
and as-accomplice having-got the nurse not-knowing the father

νύκτας δώδεκα συνευνάσθη. ὁ δὲ ὡς ᾔσθετο, σπασάμενος
nights twelve slept-with he and when he-perceived having-drawn
τὸ ξίφος ἐδίωκεν αὐτήν· ἡ δὲ περικαταλαμβανομένη θεοῖς
the sword pursued her she and being-overtaken to-gods
ηὔξατο ἀφανὴς γενέσθαι. θεοὶ δὲ κατοικτείραντες αὐτὴν εἰς
prayed invisible to-become gods and having-pitied her into
δένδρον μετήλλαξαν, ὃ καλοῦσι σμύρναν. δεκαμηνιαίῳ
a-tree changed which they-call myrrh ten-months
δὲ ὕστερον χρόνῳ τοῦ δένδρου ῥαγέντος γεννηθῆναι τὸν
and later in-time the tree having-burst to-have-been-born the
λεγόμενον Ἄδωνιν, ὃν Ἀφροδίτη διὰ κάλλος ἔτι νήπιον
called Adonis whom Aphrodite for beauty still infant
κρύφα θεῶν εἰς λάρνακα κρύψασα Περσεφόνῃ παρίστατο.
secretly from-gods in a-chest having-hidden to-Persephone entrusted
ἐκείνη δὲ ὡς ἐθεάσατο, οὐκ ἀπεδίδου. κρίσεως δὲ ἐπὶ
she and when she-beheld not gave-back judgment and before
Διὸς γενομένης εἰς τρεῖς μοίρας διῃρέθη ὁ ἐνιαυτός, καὶ
Zeus having-taken-place into three parts was-divided the year and
μίαν μὲν παρ' ἑαυτῷ μένειν τὸν Ἄδωνιν, μίαν δὲ παρὰ
one indeed with himself to-stay — Adonis one and with
Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρ' Ἀφροδίτῃ·
Persephone he-ordered the and other with Aphrodite
ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν μοῖραν.
— and Adonis to-her added also the own share
ὕστερον δὲ θηρεύων Ἄδωνις ὑπὸ συὸς πληγεὶς ἀπέθανε.
later and hunting Adonis by a-boar smitten died
5 Κέκροπος δὲ ἀποθανόντος Κραναὸς ἐβασίλευσεν αὐτόχθων
Cecrops and having-died Cranaus reigned earth-born
ὤν, ἐφ' οὗ τὸν ἐπὶ Δευκαλίωνος λέγεται κατακλυσμὸν
being in whose the in-the-time-of Deucalion is-said flood
γενέσθαι. οὗτος γήμας ἐκ Λακεδαίμονος Πεδιάδα
to-have-happened he having-married from Lacedaemon Pedias

τὴν Μύνητος ἐγέννησε Κρανάην καὶ Κραναίχμην καὶ
the daughter-of-Mynes begot Cranae and Cranaechme and
Ἀτθίδα, ἧς ἀποθανούσης ἔτι παρθένου τὴν χώραν Κραναὸς
Atthis who having-died still virgin the land Cranaus
Ἀτθίδα προσηγόρευσε.
Atthis called
Κραναὸν δὲ ἐκβαλὼν Ἀμφικτύων ἐβασίλευσε· τοῦτον ἔνιοι 6
Cranaus and having-expelled Amphictyon reigned him some
μὲν Δευκαλίωνος, ἔνιοι δὲ αὐτόχθονα λέγουσι. βασιλεύσαντα
indeed of-Deucalion some but earth-born say having-reigned
δὲ αὐτὸν ἔτη δώδεκα Ἐριχθόνιος ἐκβάλλει. τοῦτον οἱ
and him years twelve Erichthonius expels him some
μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγατρὸς Ἀτθίδος εἶναι
indeed of-Hephaestus and of-the of-Cranaus daughter Atthis to-be
λέγουσιν, οἱ δὲ Ἡφαίστου καὶ Ἀθηνᾶς, οὕτως· Ἀθηνᾶ
say others and of-Hephaestus and Athena thus Athena
παρεγένετο πρὸς Ἥφαιστον, ὅπλα κατασκευάσαι θέλουσα. ὁ
came to Hephaestus arms to-make wishing he
δὲ ἐγκαταλελειμμένος ὑπὸ Ἀφροδίτης εἰς ἐπιθυμίαν ὤλισθε
and deserted by Aphrodite into desire slipped
τῆς Ἀθηνᾶς, καὶ διώκειν αὐτὴν ἤρξατο· ἡ δὲ ἔφευγεν. ὡς
— for-Athena and to-pursue her began she and fled when
δὲ ἐγγὺς αὐτῆς ἐγένετο πολλῇ ἀνάγκῃ (ἦν γὰρ χωλός),
and near her he-came with-much necessity he-was for lame
ἐπειρᾶτο συνελθεῖν. ἡ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα
he-tried to-consort she and as chaste and virgin being
οὐκ ἠνέσχετο· ὁ δὲ ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς θεᾶς.
not suffered-it he and spent-his-seed on the leg of-the goddess
ἐκείνη δὲ μυσαχθεῖσα ἐρίῳ ἀπομάξασα τὸν γόνον εἰς γῆν
she and in-disgust with-wool having-wiped-off the seed on ground
ἔρριψε. φευγούσης δὲ αὐτῆς καὶ τῆς γονῆς εἰς γῆν πεσούσης
threw fleeing and her and the seed on ground having-fallen

Ἐριχθόνιος γίνεται. τοῦτον Ἀθηνᾶ κρύφα τῶν ἄλλων θεῶν
Erichthonius is-born him Athena secretly from-the other gods
ἔτρεφεν, ἀθάνατον θέλουσα ποιῆσαι· καὶ καταθεῖσα αὐτὸν εἰς
reared immortal wishing to-make and having-put him in
κίστην Πανδρόσῳ τῇ Κέκροπος παρακατέθετο, ἀπειποῦσα
a-chest to-Pandrosus the daughter-of-Cecrops entrusted forbidding
τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελφαὶ τῆς Πανδρόσου
the chest to-open the and sisters — of-Pandrosus
ἀνοίγουσιν ὑπὸ περιεργίας, καὶ θεῶνται τῷ βρέφει
open from curiosity and behold by-the babe
παρεσπειραμένον δράκοντα· καὶ ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ᾽
coiled a-serpent and as indeed some say by
αὐτοῦ διεφθάρησαν τοῦ δράκοντος, ὡς δὲ ἔνιοι, δι᾽ ὀργὴν
it were-destroyed the serpent as but some through anger
Ἀθηνᾶς ἐμμανεῖς γενόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς
of-Athena maddened having-become down the acropolis themselves
ἔρριψαν. ἐν δὲ τῷ τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ᾽ αὐτῆς
threw in and the precinct reared Erichthonius by very
Ἀθηνᾶς, ἐκβαλὼν Ἀμφικτύονα ἐβασίλευσεν Ἀθηνῶν, καὶ
Athena having-expelled Amphictyon reigned over-Athens and
τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο, καὶ τῶν
the in acropolis wooden-image — of-Athena set-up and of-the
Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο, καὶ Πραξιθέαν νηίδα
Panathenaea the festival instituted and Praxithea naiad
νύμφην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖς Πανδίων ἐγεννήθη.
nymph married from whom to-him a-son Pandion was-born
7 Ἐριχθονίου δὲ ἀποθανόντος καὶ ταφέντος ἐν τῷ
Erichthonius and having-died and having-been-buried in the
αὐτῷ τεμένει τῆς Ἀθηνᾶς Πανδίων ἐβασίλευσεν, ἐφ᾽ οὗ
same precinct — of-Athena Pandion reigned in whose
Δημήτηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον. ἀλλὰ
Demeter and Dionysus to — Attica came but

Δήμητρα μὲν Κελεὸς ὑπεδέξατο, Διόνυσον δὲ Ἰκάριος· ὃς
Demeter indeed Celeus received Dionysus and Icarius who
λαμβάνει παρ᾽ αὐτοῦ κλῆμα ἀμπέλου καὶ τὰ περὶ τὴν
receives from him a-branch of-vine and the-things about the
οἰνοποιίαν μανθάνει. καὶ τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων
wine-making learns and the of-the god to-bestow wishing
χάριτας ἀνθρώποις, ἀφικνεῖται πρός τινας ποιμένας, οἳ
favors to-men comes to some shepherds who
γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι᾽ ἡδονὴν ἀφειδῶς
having-tasted the drink and without water for pleasure lavishly
ἐλκύσαντες, πεφαρμάχθαι νομίζοντες ἀπέκτειναν αὐτόν.
having-quaffed to-have-been-bewitched thinking killed him
μεθ᾽ ἡμέραν δὲ νοήσαντες ἔθαψαν αὐτόν. Ἠριγόνῃ δὲ
by day and having-understood buried him to-Erigone and
τῇ θυγατρὶ τὸν πατέρα μαστευούσῃ κύων συνήθης ὄνομα
the daughter the father seeking a-dog familiar by-name
Μαῖρα, ἣ τῷ Ἰκαρίῳ συνείπετο, τὸν νεκρὸν ἐμήνυσε·
Maera which — Icarius accompanied the corpse revealed
κἀκείνη κατοδυραμένη τὸν πατέρα ἑαυτὴν ἀνήρτησε.
and-she having-lamented the father herself hanged
Πανδίων δὲ γήμας Ζευξίππην τῆς μητρὸς τὴν ἀδελφὴν 8
Pandion and having-married Zeuxippe of-the mother the sister
θυγατέρας μὲν ἐτέκνωσε Πρόκνην καὶ Φιλομήλαν, παῖδας
daughters indeed begot Procne and Philomela sons
δὲ διδύμους Ἐρεχθέα καὶ Βούτην. πολέμου δὲ ἐνστάντος
and twin Erechtheus and Butes war and having-arisen
πρὸς Λάβδακον περὶ γῆς ὅρων ἐπεκαλέσατο βοηθὸν ἐκ
with Labdacus about land's boundaries he-called-in as-ally from
Θρᾴκης Τηρέα τὸν Ἄρεος, καὶ τὸν πόλεμον σὺν αὐτῷ
Thrace Tereus the son-of-Ares and the war with him
κατορθώσας ἔδωκε Τηρεῖ πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα
having-succeeded gave to-Tereus in marriage the own daughter

Πρόκνην. ὁ δὲ ἐκ ταύτης γεννήσας παῖδα Ἴτυν, καὶ
Procne he and from her having-begotten a-son Itys also
Φιλομήλας ἐρασθεὶς ἔφθειρε καὶ ταύτην, κρύπτων ἐπὶ
with-Philomela having-fallen-in-love seduced and her hiding in
τῶν χωρίων. καὶ τὴν γλῶσσαν ἐξέτεμεν αὐτῆς. ἡ δὲ
the fields also the tongue cut-out her she and
ὑφήνασα ἐν πέπλῳ γράμματα διὰ τούτων ἐμήνυσε Πρόκνῃ
having-woven in a-robe characters through these revealed to-Procne
τὰς ἰδίας συμφοράς. ἡ δὲ ἀναζητήσασα τὴν ἀδελφὴν κτείνει
the own misfortunes she and having-sought-out the sister kills
τὸν παῖδα Ἴτυν, καὶ καθεψήσασα Τηρεῖ δεῖπνον ἀγνοοῦντι
the son Itys and having-boiled to-Tereus supper not-knowing
παρατίθησι· καὶ μετὰ τῆς ἀδελφῆς διὰ τάχους ἔφυγε. Τηρεὺς
sets-before and with the sister in haste fled Tereus
δὲ αἰσθόμενος, ἁρπάσας πέλεκυν ἐδίωκεν. αἱ δὲ ἐν Δαυλίᾳ
and having-perceived having-snatched an-axe pursued they and in Daulia
τῆς Φωκίδος γινόμεναι περικατάληπτοι θεοῖς εὔχονται
— of-Phocis being overtaken to-gods pray
ἀπορνεωθῆναι, καὶ Πρόκνη μὲν γίνεται ἀηδών, Φιλομήλα
to-be-turned-into-birds and Procne indeed becomes nightingale Philomela
δὲ χελιδών· ἀπορνεοῦται δὲ καὶ Τηρεύς, καὶ γίνεται ἔποψ.
and swallow is-turned-into-a-bird and also Tereus and becomes hoopoe

At Pandion's death Erechtheus takes the kingdom and Butes the priesthood. The daughters of Erechtheus are Procris, Creusa, Chthonia, and Orithyia: Procris, unfaithful to Cephalus, is later killed by his javelin in a hunt, and Boreas carries off Orithyia. At war with Eleusis, Erechtheus sacrifices a daughter and kills Eumolpus, and Poseidon destroys him. The childless Aegeus lies with Aethra at Troezen, and she bears Theseus. Minos, whose son Androgeus has been killed in Attica, takes Megara when Scylla cuts her father's purple hair, and when plague follows, Athens must send him seven youths and seven maidens for the Minotaur. Daedalus, who killed his nephew Talos, flees to Minos.

Πανδίονος δὲ ἀποθανόντος οἱ παῖδες τὰ πατρῷα 1
Pandion and having-died the sons the paternal-things
ἐμερίσαντο, καὶ τὴν μὲν βασιλείαν Ἐρεχθεὺς λαμβάνει,
divided and the indeed kingdom Erechtheus receives
τὴν δὲ ἱερωσύνην τῆς Ἀθηνᾶς καὶ τοῦ Ποσειδῶνος τοῦ
the and priesthood — of-Athena and — of-Poseidon —
Ἐρεχθέως Βούτης. γήμας δὲ Ἐρεχθεὺς Πραξιθέαν
of-Erechtheus Butes having-married and Erechtheus Praxithea
τὴν Φρασίμου καὶ Διογενείας τῆς Κηφισοῦ, ἔσχε
the daughter-of-Phrasimus and of-Diogenia the daughter-of-Cephisus had
παῖδας Κέκροπα Πάνδωρον Μητίονα, θυγατέρας δὲ
sons Cecrops Pandorus Metion daughters and
Πρόκριν Κρέουσαν Χθονίαν Ὠρείθυιαν, ἣν ἥρπασε Βορέας.
Procris Creusa Chthonia Orithyia whom carried-off Boreas
Χθονίαν μὲν οὖν ἔγημε Βούτης, Κρέουσαν δὲ Ξοῦθος,
Chthonia indeed then married Butes Creusa and Xuthus
Πρόκριν δὲ Κέφαλος ὁ Δηιόνος. ἡ δὲ λαβοῦσα χρυσοῦν
Procris and Cephalus the son-of-Deion she and having-received a-golden
στέφανον Πτελέοντι συνευνάζεται, καὶ φωραθεῖσα ὑπὸ
crown with-Pteleon sleeps and detected by

Κεφάλου πρὸς Μίνωα φεύγει. ὁ δὲ αὐτῆς ἐρᾷ καὶ πείθει
Cephalus to Minos flees he and her loves and persuades
συνελθεῖν. εἰ δὲ συνέλθοι γυνὴ Μίνωι, ἀδύνατον ἦν αὐτὴν
to-consort if but should-consort a-woman with-Minos impossible it-was her
σωθῆναι· Πασιφάη γάρ, ἐπειδὴ πολλαῖς Μίνως συνηυνάζετο
to-be-saved Pasiphae for since with-many Minos slept
γυναιξίν, ἐφαρμάκευσεν αὐτόν, καὶ ὁπότε ἄλλῃ
women bewitched him and whenever with-another
συνηυνάζετο, εἰς τὰ ἄρθρα ἀφίει θηρία, καὶ οὕτως
he-slept into the joints he-discharged beasts and so
ἀπώλλυντο. ἔχοντος οὖν αὐτοῦ κύνα ταχὺν καὶ ἀκόντιον
they-perished having then him a-dog swift and a-javelin
ἰθυβόλον, ἐπὶ τούτοις Πρόκρις, δοῦσα τὴν Κιρκαίαν πιεῖν
straight-flying on these Procris having-given the Circaean to-drink
ῥίζαν πρὸς τὸ μηδὲν βλάψαι, συνευνάζεται. δείσασα δὲ αὖθις
root for the nothing to-harm sleeps-with-him having-feared and again
τὴν Μίνωος γυναῖκα ἦκεν εἰς Ἀθήνας, καὶ διαλλαγεῖσα
the of-Minos wife came to Athens and having-been-reconciled
Κεφάλῳ μετὰ τούτου παραγίνεται ἐπὶ θήραν· ἦν γὰρ
to-Cephalus with him goes to hunting she-was for
θηρευτική. διωκούσης δὲ αὐτῆς ἐν τῇ λόχμῃ ἀγνοήσας
a-huntress pursuing and her in the thicket not-knowing
Κέφαλος ἀκοντίζει, καὶ τυχὼν ἀποκτείνει Πρόκριν. καὶ
Cephalus throws-a-javelin and having-hit kills Procris and
κριθεὶς ἐν Ἀρείῳ πάγῳ φυγὴν ἀίδιον καταδικάζεται.
having-been-tried on of-Ares hill exile perpetual is-condemned-to
2 Ὠρείθυιαν δὲ παίζουσαν ἐπὶ Ἰλισσοῦ ποταμοῦ ἁρπάσας
Orithyia and playing by Ilissus river having-carried-off
Βορέας συνῆλθεν· ἡ δὲ γεννᾷ θυγατέρας μὲν Κλεοπάτραν
Boreas consorted she and bears daughters indeed Cleopatra
καὶ Χιόνην, υἱοὺς δὲ Ζήτην καὶ Κάλαϊν πτερωτούς, οἳ
and Chione sons and Zetes and Calais winged who

πλέοντες σὺν Ἰάσονι καὶ τὰς ἁρπυίας διώκοντες ἀπέθανον,
sailing with Jason and the Harpies pursuing died
ὡς δὲ Ἀκουσίλαος λέγει, περὶ Τῆνον ὑφ᾽ Ἡρακλέους
as but Acusilaus says about Tenos by Heracles
ἀπώλοντο.
they-perished

Κλεοπάτραν δὲ ἔγημε Φινεύς, ᾧ γίνονται παῖδες ἐξ 3
Cleopatra and married Phineus to-whom are-born sons from
αὐτῆς Πλήξιππος καὶ Πανδίων. ἔχων δὲ τούτους ἐκ
her Plexippus and Pandion having and these by
Κλεοπάτρας παῖδας Ἰδαίαν ἐγάμει τὴν Δαρδάνου.
Cleopatra sons Idaea he-married the daughter-of-Dardanus
κἀκείνη τῶν προγόνων πρὸς Φινέα φθορὰν καταψεύδεται,
and-she the stepsons to Phineus of-seduction falsely-accuses
καὶ πιστεύσας Φινεὺς ἀμφοτέρους τυφλοῖ. παραπλέοντες
and having-believed Phineus both blinds sailing-past
δὲ οἱ Ἀργοναῦται σὺν Βορέᾳ κολάζονται αὐτόν.
and the Argonauts with Boreas punish him

Χιόνη δὲ Ποσειδῶνι μίγνυται. ἡ δὲ κρύφα τοῦ πατρὸς 4
Chione and with-Poseidon has-intercourse she and secretly from-the father
Εὔμολπον τεκοῦσα, ἵνα μὴ γένηται καταφανής, εἰς τὸν
Eumolpus having-borne so-that not she-become detected into the
βυθὸν ῥίπτει τὸ παιδίον. Ποσειδῶν δὲ ἀνελόμενος εἰς
deep throws the child Poseidon and having-picked-up to
Αἰθιοπίαν κομίζει καὶ δίδωσι Βενθεσικύμῃ τρέφειν, αὐτοῦ
Ethiopia brings and gives to-Benthesicyme to-rear his-own
θυγατρὶ καὶ Ἀμφιτρίτης. ὡς δὲ ἐτελειώθη, ὁ Βενθεσικύμης
daughter and of-Amphitrite when and he-was-grown-up the of-Benthesicyme
ἀνὴρ τὴν ἑτέραν αὐτῷ τῶν θυγατέρων δίδωσιν. ὁ δὲ καὶ
husband the one to-him of-the daughters gives he and also
τὴν ἀδελφὴν τῆς γαμηθείσης ἐπεχείρησε βιάζεσθαι, καὶ
the sister of-the married-one tried to-violate and

διὰ τοῦτο φυγαδευθεὶς μετὰ Ἰσμάρου τοῦ παιδὸς πρὸς
for this having-been-banished with Ismarus the son to
Τεγύριον ἦκε, Θρᾳκῶν βασιλέα, ὃς αὐτοῦ τῷ παιδὶ τὴν
Tegyrius came of-Thracians king who his to-the son the
θυγατέρα συνῴκισεν. ἐπιβουλεύων δὲ ὕστερον Τεγυρίῳ
daughter married plotting and later against-Tegyrius
καταφανὴς γίνεται, καὶ πρὸς Ἐλευσινίους φεύγει καὶ φιλίαν
detected becomes and to Eleusinians flees and friendship
ποιεῖται πρὸς αὐτούς. αὖθις δὲ Ἰσμάρου τελευτήσαντος
makes with them later and Ismarus having-died
μεταπεμφθεὶς ὑπὸ Τεγυρίου παραγίνεται, καὶ τὴν πρὸ τοῦ
having-been-sent-for by Tegyrius he-comes and the before the
μάχην διαλυσάμενος τὴν βασιλείαν παρέλαβε. καὶ πολέμου
quarrel having-made-up the kingdom received and war
ἐνστάντος πρὸς Ἀθηναίους τοῖς Ἐλευσινίοις, ἐπικληθεὶς
having-arisen with Athenians for-the Eleusinians having-been-called-in
ὑπὸ Ἐλευσινίων μετὰ πολλῆς συνεμάχει Θρᾳκῶν δυνάμεως.
by Eleusinians with much he-fought-alongside of-Thracians force
Ἐρεχθεῖ δὲ ὑπὲρ Ἀθηναίων νίκης χρωμένῳ ἔχρησεν ὁ
to-Erechtheus and for Athenians' victory consulting oracled the
θεὸς κατορθώσειν τὸν πόλεμον, ἐὰν μίαν τῶν θυγατέρων
god to-be-going-to-win the war if one of-the daughters
σφάξῃ. καὶ σφάξαντος αὐτοῦ τὴν νεωτάτην καὶ αἱ λοιπαὶ
he-should-slay and having-slaughtered him the youngest also the rest
ἑαυτὰς κατέσφαξαν· ἐπεποίηντο γάρ, ὡς ἔφασάν τινες,
themselves slaughtered they-had-made for as said some
συνωμοσίαν ἀλλήλαις συναπολέσθαι. γενομένης δὲ μετὰ
a-pact with-one-another to-perish-together having-taken-place and after
τὴν σφαγὴν τῆς μάχης Ἐρεχθεὺς μὲν ἀνεῖλεν Εὔμολπον,
the slaughter the battle Erechtheus indeed killed Eumolpus

Ποσειδῶνος δὲ καὶ τὸν Ἐρεχθέα καὶ τὴν οἰκίαν αὐτοῦ 5
Poseidon and both — Erechtheus and the house his
καταλύσαντος, Κέκροψ ὁ πρεσβύτατος τῶν Ἐρεχθέως
having-destroyed Cecrops the eldest of-the of-Erechtheus
παίδων ἐβασίλευσεν, ὃς γήμας Μητιάδουσαν τὴν
sons reigned who having-married Metiadusa the
Εὐπαλάμου παῖδα ἐτέκνωσε Πανδίονα. οὗτος μετὰ Κέκροπα
of-Eupalamus daughter begot Pandion he after Cecrops
βασιλεύων ὑπὸ τῶν Μητίονος υἱῶν κατὰ στάσιν ἐξεβλήθη,
reigning by the of-Metion sons in a-sedition was-expelled
καὶ παραγενόμενος εἰς Μέγαρα πρὸς Πύλαν τὴν ἐκείνου
and having-come to Megara to Pylas the his
θυγατέρα Πυλίαν γαμεῖ. αὖθις δὲ καὶ τῆς πόλεως βασιλεὺς
daughter Pylia marries later and also of-the city king
καθίσταται· κτείνας γὰρ Πύλας τὸν τοῦ πατρὸς ἀδελφὸν
is-appointed having-killed for Pylas the of-the father brother
Βίαντα τὴν βασιλείαν δίδωσι Πανδίονι, αὐτὸς δὲ εἰς
Bias the kingdom gives to-Pandion himself and to
Πελοπόννησον σὺν λαῷ παραγενόμενος κτίζει πόλιν Πύλον.
Peloponnese with people having-come founds a-city Pylus
Πανδίονι δὲ ἐν Μεγάροις ὄντι παῖδες ἐγένοντο Αἰγεὺς
to-Pandion and in Megara being sons were-born Aegeus
Πάλλας Νῖσος Λύκος. ἔνιοι δὲ Αἰγέα Σκυρίου εἶναι
Pallas Nisus Lycus some but Aegeus of-Scyrius to-be
λέγουσιν, ὑποβληθῆναι δὲ ὑπὸ Πανδίονος.
say to-have-been-passed-off and by Pandion
μετὰ δὲ τὴν Πανδίονος τελευτὴν οἱ παῖδες αὐτοῦ 6
after and the of-Pandion death the sons his
στρατεύσαντες ἐπ᾽ Ἀθήνας ἐξέβαλον τοὺς Μητιονίδας καὶ
having-marched against Athens expelled the Metionids and
τὴν ἀρχὴν τετραχῇ διεῖλον· εἶχε δὲ τὸ πᾶν κράτος Αἰγεύς.
the rule in-four divided held and the whole power Aegeus

γαμεῖ δὲ πρώτην μὲν Μήταν τὴν Ὁπλῆτος, δευτέραν
marries and first indeed Meta the daughter-of-Hoples second
δὲ Χαλκιόπην τὴν Ῥηξήνορος. ὡς δὲ οὐκ ἐγένετο παῖς
and Chalciope the daughter-of-Rhexenor when and not was-born a-son
αὐτῷ, δεδοικὼς τοὺς ἀδελφοὺς εἰς Πυθίαν ἦλθε καὶ περὶ
to-him fearing the brothers to Pythia he-went and about
παίδων γονῆς ἐμαντεύετο. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ·
children's begetting consulted the and god oracled to-him

ἀσκοῦ τὸν προύχοντα ποδάονα, φέρτατε λαῶν,
of-the-wineskin the projecting foot O-best of-peoples
μὴ λύσῃς, πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.
not loose-thou before to height of-Athenians thou-come

ἀπορῶν δὲ τὸν χρησμὸν ἀνῄει πάλιν εἰς Ἀθήνας.
being-at-a-loss and the oracle he-went-up again to Athens
7 καὶ Τροιζῆνα διοδεύων ἐπιξενοῦται Πιτθεῖ τῷ Πέλοπος,
and Troezen passing-through is-entertained by-Pittheus the son-of-Pelops
ὃς τὸν χρησμὸν συνείς, μεθύσας αὐτὸν τῇ
who the oracle having-understood having-made-drunk him with-the
θυγατρὶ συγκατέκλινεν Αἴθρᾳ. τῇ δὲ αὐτῇ νυκτὶ καὶ
daughter laid-beside Aethra in-the and same night also
Ποσειδῶν ἐπλησίασεν αὐτῇ. Αἰγεὺς δὲ ἐντειλάμενος Αἴθρᾳ,
Poseidon approached her Aegeus and having-enjoined on-Aethra
ἐὰν ἄρρενα γεννήσῃ, τρέφειν, τίνος ἐστὶ μὴ λέγουσαν,
if a-male she-bear to-rear whose he-is not telling
ἀπέλιπεν ὑπό τινα πέτραν μάχαιραν καὶ πέδιλα, εἰπών,
left under a rock a-sword and sandals having-said
ὅταν ὁ παῖς δύνηται τὴν πέτραν ἀποκυλίσας ἀνελέσθαι
when the boy can the rock having-rolled-away to-take-up
ταῦτα, τότε μετ᾽ αὐτῶν αὐτὸν ἀποπέμπειν.
these then with them him to-send-away

αὐτὸς δὲ ἦκεν εἰς Ἀθήνας, καὶ τὸν τῶν Παναθηναίων ἀγῶνα
himself and came to Athens and the of-the Panathenaea games
ἐπετέλει, ἐν ᾧ ὁ Μίνωος παῖς Ἀνδρόγεως ἐνίκησε πάντας.
celebrated in which the of-Minos son Androgeus defeated all
τοῦτον Αἰγεὺς ἐπὶ τὸν Μαραθώνιον ἔπεμψε ταῦρον, ὑφ᾽ οὗ
him Aegeus against the Marathonian sent bull by which
διεφθάρη. ἔνιοι δὲ αὐτὸν λέγουσι πορευόμενον εἰς Θήβας
he-was-destroyed some but him say journeying to Thebes
ἐπὶ τὸν Λαΐου ἀγῶνα πρὸς τῶν ἀγωνιστῶν ἐνεδρευθέντα
for the of-Laius games by the competitors ambushed
διὰ φθόνον ἀπολέσθαι. Μίνως δέ, ἀγγελθέντος αὐτῷ
through envy to-have-perished Minos but having-been-announced to-him
τοῦ θανάτου, θύων ἐν Πάρῳ ταῖς χάρισι, τὸν μὲν
the death sacrificing in Paros to-the Graces the indeed
στέφανον ἀπὸ τῆς κεφαλῆς ἔρριψε καὶ τὸν αὐλὸν κατέσχε,
garland from the head threw and the flute stopped
τὴν δὲ θυσίαν οὐδὲν ἧττον ἐπετέλεσεν· ὅθεν ἔτι καὶ δεῦρο
the and sacrifice nothing less performed whence still even now
χωρὶς αὐλῶν καὶ στεφάνων ἐν Πάρῳ θύουσι ταῖς χάρισι.
without flutes and garlands in Paros they-sacrifice to-the Graces
μετ᾽ οὐ πολὺ δὲ θαλασσοκρατῶν ἐπολέμησε στόλῳ τὰς 8
after not long and ruling-the-sea he-warred with-a-fleet —
Ἀθήνας, καὶ Μέγαρα εἶλε Νίσου βασιλεύοντος τοῦ Πανδίονος,
Athens and Megara took Nisus reigning the son-of-Pandion
καὶ Μεγαρέα τὸν Ἱππομένους ἐξ Ὀγχηστοῦ Νίσῳ βοηθὸν
and Megareus the son-of-Hippomenes from Onchestus to-Nisus as-ally
ἐλθόντα ἀπέκτεινεν. ἀπέθανε δὲ καὶ Νῖσος διὰ θυγατρὸς
having-come killed died and also Nisus through daughter's
προδοσίαν. ἔχοντι γὰρ αὐτῷ πορφυρέαν ἐν μέσῃ τῇ κεφαλῇ
treachery having for him a-purple in middle the head
τρίχα ταύτης ἀφαιρεθείσης ἦν χρησμὸς τελευτῆσαι· ἡ δὲ
hair this having-been-removed was oracle to-die she and

θυγάτηρ αὐτοῦ Σκύλλα ἐρασθεῖσα Μίνωος ἐξεῖλε τὴν
daughter his Scylla having-fallen-in-love Minos pulled-out the
τρίχα. Μίνως δὲ Μεγάρων κρατήσας καὶ τὴν κόρην
hair Minos and of-Megara having-become-master and the girl
τῆς πρύμνης τῶν ποδῶν ἐκδήσας ὑποβρύχιον ἐποίησε.
to-the stern by-the feet having-tied-fast drowned made
χρονιζομένου δὲ τοῦ πολέμου, μὴ δυνάμενος ἑλεῖν Ἀθήνας
being-protracted and the war not being-able to-take Athens
εὔχεται Διὶ παρ᾽ Ἀθηναίων λαβεῖν δίκας. γενομένου δὲ τῇ
prays to-Zeus from Athenians to-get satisfaction having-arisen and in-the
πόλει λιμοῦ τε καὶ λοιμοῦ. τὸ μὲν πρῶτον κατὰ λόγιον
city famine both and pestilence at-the indeed first according-to an-oracle
Ἀθηναῖοι παλαιὸν τὰς Ὑακίνθου κόρας, Ἀνθηΐδα Αἰγληΐδα
Athenians old the of-Hyacinth daughters Antheis Aegleis
Λυταίαν Ὀρθαίαν, ἐπὶ τὸν Γεραίστου τοῦ Κύκλωπος τάφον
Lytaea Orthaea on the of-Geraestus the Cyclops grave
κατέσφαξαν· τούτων δὲ ὁ πατὴρ Ὑάκινθος ἐλθὼν ἐκ
slaughtered of-these and the father Hyacinth having-come from
Λακεδαίμονος Ἀθήνας κατῴκει. ὡς δὲ οὐδὲν ὄφελος ἦν
Lacedaemon Athens dwelt-in when and no benefit was
τοῦτο, ἐχρῶντο περὶ ἀπαλλαγῆς. ὁ δὲ θεὸς ἀνεῖλεν αὐτοῖς
this they-consulted about riddance the and god answered them
Μίνωι διδόναι δίκας ἃς ἂν αὐτὸς αἱροῖτο. πέμψαντες
to-Minos to-give satisfaction which — himself should-choose having-sent
οὖν πρὸς Μίνωα ἐπέτρεπον αἰτεῖν δίκας. Μίνως δὲ
then to Minos allowed to-demand satisfaction Minos and
ἐκέλευσεν αὐτοῖς κόρους ἑπτὰ καὶ κόρας τὰς ἴσας χωρὶς
ordered them youths seven and maidens the equal without
ὅπλων πέμπειν τῷ Μινωταύρῳ βοράν. ἦν δὲ οὗτος ἐν
arms to-send to-the Minotaur as-food was and he in
λαβυρίνθῳ καθειργμένος, ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον
a-labyrinth shut-up in which the-one having-entered impossible

ἦν ἐξιέναι· πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοουμένην
it-was to-get-out with-intricate for windings the unknown
ἔξοδον ἀπέκλειε. κατεσκευάκει δὲ αὐτὸν Δαίδαλος ὁ
exit it-shut-off had-built and it Daedalus the
Εὐπαλάμου παῖς τοῦ Μητίονος καὶ Ἀλκίππης. ἦν γὰρ
of-Eupalamus son the son-of-Metion and of-Alcippe he-was for
ἀρχιτέκτων ἄριστος καὶ πρῶτος ἀγαλμάτων εὑρετής. οὗτος
architect best and first of-images inventor he
ἐξ Ἀθηνῶν ἔφυγεν, ἀπὸ τῆς ἀκροπόλεως βαλὼν τὸν
from Athens fled from the acropolis having-thrown the
τῆς ἀδελφῆς υἱὸν Τάλω, μαθητὴν ὄντα, δείσας μὴ διὰ
of-the sister son Talos pupil being fearing lest through
τὴν εὐφυΐαν αὐτὸν ὑπερβάλῃ· σιαγόνα γὰρ ὄφεως εὑρὼν
the talent him he-surpass a-jaw for of-a-snake having-found
ξύλον λεπτὸν ἔπρισε. φωραθέντος δὲ τοῦ νεκροῦ κριθεὶς
wood thin he-sawed detected and the corpse tried
ἐν Ἀρείῳ πάγῳ καὶ καταδικασθεὶς πρὸς Μίνωα ἔφυγε.
on of-Ares hill and condemned to Minos fled

III.16 · THESEUS ON THE ROAD

Grown up, Theseus pushes away the rock under which Aegeus had left his sandals and sword, and sets out for Athens on foot. He clears the road of evildoers: Periphetes, son of Hephaestus, who killed travelers with an iron club and whose club Theseus takes and carries, and Sinis the Pine-bender, who lived on the Isthmus and made passers-by bend pines down, so that they were flung up and died; Theseus kills him in the same way.

Θησεὺς δὲ γεννηθεὶς ἐξ Αἴθρας Αἰγεῖ παῖς, ὡς ἐγένετο 1
Theseus and born from Aethra to-Aegeus son when he-became
τέλειος, ἀπωσάμενος τὴν πέτραν τὰ πέδιλα καὶ τὴν
grown-up having-pushed-away the rock the sandals and the

μάχαιραν ἀναιρεῖται, καὶ πεζὸς ἠπείγετο εἰς τὰς Ἀθήνας.
sword takes-up and on-foot hastened to — Athens
φρουρουμένην δὲ ὑπὸ ἀνδρῶν κακούργων τὴν ὁδὸν
guarded and by men evil-doing the road
ἡμέρωσε. πρῶτον μὲν γὰρ Περιφήτην τὸν Ἡφαίστου καὶ
he-tamed first indeed for Periphetes the son-of-Hephaestus and
Ἀντικλείας, ὃς ἀπὸ τῆς κορύνης ἣν ἐφόρει κορυνήτης
of-Anticlia who from the club which he-carried Club-man
ἐπεκαλεῖτο, ἔκτεινεν ἐν Ἐπιδαύρῳ. πόδας δὲ ἀσθενεῖς ἔχων
was-surnamed he-killed in Epidaurus feet and weak having
οὗτος ἐφόρει κορύνην σιδηρᾶν, δι' ἧς τοὺς παριόντας
he carried a-club iron with which the passers-by
ἔκτεινε. ταύτην ἀφελόμενος Θησεὺς ἐφόρει.
he-killed this having-taken-away Theseus carried
2 δεύτερον δὲ κτείνει Σίνιν τὸν Πολυπήμονος καὶ Συλέας
second and kills Sinis the son-of-Polypemon and of-Sylea
τῆς Κορίνθου. οὗτος πιτυοκάμπτης ἐπεκαλεῖτο· οἰκῶν
the daughter-of-Corinthus he Pine-bender was-surnamed dwelling
γὰρ τὸν Κορινθίων ἰσθμὸν ἠνάγκαζε τοὺς παριόντας
for the of-Corinthians isthmus he-compelled the passers-by
πίτυς κάμπτοντας ἀνέχεσθαι· οἱ δὲ διὰ τὴν ἀσθένειαν
pines bending to-hold they and through the weakness
οὐκ ἠδύναντο, καὶ ὑπὸ τῶν δένδρων ἀναρριπτούμενοι
not could and by the trees being-tossed-up
πανωλέθρως ἀπώλλυντο. τούτῳ τῷ τρόπῳ καὶ Θησεὺς
utterly perished this the way also Theseus
Σίνιν ἀπέκτεινεν.
Sinis killed

APOLLODORUS

ΕΠΙΤΟΜΗ

The Epitome

Theseus, on the road to Athens, kills the sow of Crommyon, Sciron, Cercyon the wrestler, and Damastes, who fitted his guests to his beds. At Athens Medea persuades Aegeus to poison him, but Aegeus knows the sword and dashes the cup away. In Crete Theseus wins Ariadne's love, kills the Minotaur, and escapes by her thread, but loses her on Naxos to Dionysus; forgetting the white sail, he causes his father's death. Daedalus escapes with Icarus on wings, and Minos, tracking him to Sicily with a spiral shell, dies in Cocalus' bath. Theseus marries an Amazon and then Phaedra, whose false charge destroys Hippolytus; Ixion is bound on his wheel; and Theseus and Pirithous are held in Hades until Heracles frees Theseus, who is driven out by Menestheus and killed by Lycomedes.

τρίτην ἔκτεινεν ἐν Κρομμυῶνι σῦν τὴν καλουμένην Φαιὰν 1
third he-killed in Crommyon sow the called Phaea
ἀπὸ τῆς θρεψάσης γραὸς αὐτήν· ταύτην τινὲς Ἐχίδνης
after the having-reared old-woman it this some of-Echidna
καὶ Τυφῶνος λέγουσι.
and Typhon say
τέταρτον ἔκτεινε Σκείρωνα τὸν Κορίνθιον τοῦ Πέλοπος, 2
fourth he-killed Sciron the Corinthian the son-of-Pelops
ὡς δὲ ἔνιοι Ποσειδῶνος. οὗτος ἐν τῇ Μεγαρικῇ κατέχων
as but some of-Poseidon he in the Megarian holding
τὰς ἀφ' ἑαυτοῦ κληθείσας πέτρας Σκειρωνίδας, ἠνάγκαζε
the after himself called rocks Scironian compelled
τοὺς παριόντας νίζειν αὐτοῦ τοὺς πόδας, καὶ νίζοντας
the-ones passing to-wash his the feet and washing
εἰς τὸν βυθὸν αὐτοὺς ἔρριπτε βορὰν ὑπερμεγέθει χελώνῃ.
into the deep them threw as-food for-a-huge turtle
Θησεὺς δὲ ἁρπάσας αὐτὸν τῶν ποδῶν ἔρριψεν εἰς τὴν 3
Theseus but having-seized him by-the feet threw into the
θάλασσαν. πέμπτον ἔκτεινεν ἐν Ἐλευσῖνι Κερκυόνα τὸν
sea fifth he-killed in Eleusis Cercyon the

Βράγχου καὶ Ἀργιόπης νύμφης. οὗτος ἠνάγκαζε τοὺς
son-of-Branchus and of-Argiope a-nymph he compelled the
παριόντας παλαίειν καὶ παλαίων ἀνῄρει· Θησεὺς δὲ αὐτὸν
passers-by to-wrestle and wrestling killed Theseus and him
μετέωρον ἀράμενος ἔρραξεν εἰς γῆν.
aloft having-lifted dashed to earth

4 ἕκτον ἀπέκτεινε Δαμάστην, ὃν ἔνιοι Πολυπήμονα
sixth he-killed Damastes whom some Polypemon
λέγουσιν. οὗτος τὴν οἴκησιν ἔχων παρ᾽ ὁδὸν ἐστόρεσε δύο
call he the dwelling having by road spread two
κλίνας, μίαν μὲν μικράν, ἑτέραν δὲ μεγάλην, καὶ τοὺς
beds one indeed small other and large and the
παριόντας ἐπὶ ξένια καλῶν τοὺς μὲν βραχεῖς ἐπὶ τῆς
passers-by to hospitality inviting the indeed short on the
μεγάλης κατακλίνων σφύραις ἔτυπτεν, ἵν᾽ ἐξισωθῶσι
large laying-down with-hammers beat so-that they-be-made-equal
τῇ κλίνῃ, τοὺς δὲ μεγάλους ἐπὶ τῆς μικρᾶς, καὶ τὰ
to-the bed the and tall on the small and the-parts
ὑπερέχοντα τοῦ σώματος ἀπέπριζε.
projecting of-the body sawed-off
καθάρας οὖν Θησεὺς τὴν ὁδὸν ἦκεν εἰς Ἀθήνας.
having-cleared then Theseus the road came to Athens

5 Μήδεια δὲ Αἰγεῖ τότε συνοικοῦσα ἐπεβούλευσεν αὐτῷ,
Medea and with-Aegeus then living plotted against-him
καὶ πείθει τὸν Αἰγέα φυλάττεσθαι ὡς ἐπίβουλον αὐτῷ.
and persuades — Aegeus to-be-on-guard as plotter against-him
Αἰγεὺς δὲ τὸν ἴδιον ἀγνοῶν παῖδα, δείσας ἔπεμψεν
Aegeus and the own not-knowing son having-feared sent
ἐπὶ τὸν Μαραθώνιον ταῦρον.
against the Marathonian bull

ὡς δὲ ἀνεῖλεν αὐτόν, παρὰ Μηδείας λαβὼν αὐθήμερον 6
when and he-had-killed it from Medea having-received on-the-same-day
προσήνεγκεν αὐτῷ φάρμακον. ὁ δὲ μέλλοντος αὐτῷ τοῦ
he-offered him poison he and being-about to-him the
ποτοῦ προσφέρεσθαι ἐδωρήσατο τῷ πατρὶ τὸ ξίφος,
draft to-be-administered gave to-the father the sword
ὅπερ ἐπιγνοὺς Αἰγεὺς τὴν κύλικα ἐξέρριψε τῶν χειρῶν
which having-recognized Aegeus the cup dashed-from the hands
αὐτοῦ. Θησεὺς δὲ ἀναγνωρισθεὶς τῷ πατρὶ καὶ τὴν
his Theseus and having-been-made-known to-the father and the
ἐπιβουλὴν μαθὼν ἐξέβαλε τὴν Μήδειαν.
plot having-learned expelled — Medea
καὶ εἰς τὸν τρίτον δασμὸν τῷ Μινωταύρῳ συγκαταλέγεται· 7
and among the third tribute to-the Minotaur he-is-numbered
ὡς δέ τινες λέγουσιν, ἑκὼν ἑαυτὸν ἔδωκεν. ἐχούσης δὲ
as but some say willingly himself he-gave having and
τῆς νεὼς μέλαν ἱστίον Αἰγεὺς τῷ παιδὶ ἐνετείλατο, ἐὰν
the ship black sail Aegeus to-the son enjoined if
ὑποστρέφῃ ζῶν, λευκοῖς πετάσαι τὴν ναῦν ἱστίοις.
he-return alive with-white to-spread the ship sails
ὡς δὲ ἦκεν εἰς Κρήτην, Ἀριάδνη θυγάτηρ Μίνωος 8
when and he-came to Crete Ariadne daughter of-Minos
ἐρωτικῶς διατεθεῖσα πρὸς αὐτὸν συμπράσσειν ἐπαγγέλλεται,
amorously disposed toward him to-help offers
ἐὰν ὁμολογήσῃ γυναῖκα αὐτὴν ἔξειν ἀπαγαγὼν
if he-agree wife her to-be-going-to-have having-carried-off
εἰς Ἀθήνας. ὁμολογήσαντος δὲ σὺν ὅρκοις Θησέως δεῖται
to Athens having-agreed and with oaths Theseus she-begs
Δαιδάλου μηνῦσαι τοῦ λαβυρίνθου τὴν ἔξοδον.
Daedalus to-disclose of-the labyrinth the exit

9 ὑποθεμένου δὲ ἐκείνου, λίνον εἰσιόντι Θησεῖ δίδωσι·
having-advised and he a-thread entering to-Theseus she-gives
τοῦτο ἐξάψας Θησεὺς τῆς θύρας ἐφελκόμενος εἰσῆει.
this having-fastened Theseus to-the door drawing-after entered
καταλαβὼν δὲ Μινώταυρον ἐν ἐσχάτῳ μέρει τοῦ
having-found and Minotaur in last part of-the
λαβυρίνθου παίων πυγμαῖς ἀπέκτεινεν, ἐφελκόμενος δὲ τὸ
labyrinth striking with-fists killed drawing-after and the
λίνον πάλιν ἐξῆει. καὶ διὰ νυκτὸς μετὰ Ἀριάδνης καὶ τῶν
thread again came-out and through night with Ariadne and the
παίδων εἰς Νάξον ἀφικνεῖται. ἔνθα Διόνυσος ἐρασθεὶς
children to Naxos arrives where Dionysus having-fallen-in-love
Ἀριάδνης ἥρπασε, καὶ κομίσας εἰς Λῆμνον ἐμίγη.
Ariadne carried-off and having-brought to Lemnos had-intercourse
καὶ γεννᾷ Θόαντα Στάφυλον Οἰνοπίωνα καὶ Πεπάρηθον.
and begets Thoas Staphylus Oenopion and Peparethus
10 λυπούμενος δὲ Θησεὺς ἐπ᾽ Ἀριάδνῃ καταπλέων ἐπελάθετο
grieving and Theseus for Ariadne sailing-in forgot
πετάσαι τὴν ναῦν λευκοῖς ἱστίοις. Αἰγεὺς δὲ ἀπὸ τῆς
to-spread the ship with-white sails Aegeus and from the
ἀκροπόλεως τὴν ναῦν ἰδὼν ἔχουσαν μέλαν ἱστίον,
acropolis the ship having-seen having black sail
Θησέα νομίσας ἀπολωλέναι ῥίψας ἑαυτὸν μετήλλαξε.
Theseus having-thought to-have-perished having-thrown himself died
11 Θησεὺς δὲ παρέλαβε τὴν Ἀθηναίων δυναστείαν, καὶ
Theseus and took-over the of-Athenians sovereignty and
τοὺς μὲν Πάλλαντος παῖδας πεντήκοντα τὸν ἀριθμὸν
the indeed of-Pallas sons fifty the number
ἀπέκτεινεν· ὁμοίως δὲ καὶ ὅσοι ἀντᾶραι ἤθελον παρ᾽
killed likewise and also as-many-as to-rise-against wished by
αὐτοῦ ἀπεκτάνθησαν, καὶ τὴν ἀρχὴν ἅπασαν ἔσχε μόνος.
him were-killed and the rule all held alone

ὅτι Μίνως, αἰσθόμενος τοῦ φεύγειν τοὺς μετὰ Θησέως, 12
that Minos having-perceived of-the to-flee the-ones with Theseus
Δαίδαλον αἴτιον ἐν τῷ λαβυρίνθῳ μετὰ τοῦ παιδὸς
Daedalus cause in the labyrinth with the son
Ἰκάρου καθεῖρξεν, ὃς ἐγεγέννητο αὐτῷ ἐκ δούλης Μίνωος
Icarus shut-up who had-been-born to-him from a-slave of-Minos
Ναυκράτης. ὁ δὲ πτερὰ κατασκευάσας ἑαυτῷ καὶ τῷ παιδὶ
Naucrate he and wings having-made for-himself and for-the son
ἀναπτάντι ἐνετείλατο μήτε εἰς ὕψος πέτεσθαι, μὴ τακείσης
flying-up enjoined neither to height to-fly lest having-melted
τῆς κόλλης ὑπὸ τοῦ ἡλίου αἱ πτέρυγες λυθῶσι, μήτε
the glue by the sun the wings be-loosed nor
ἐγγὺς θαλάσσης, ἵνα μὴ τὰ πτερὰ ὑπὸ τῆς νοτίδος λυθῇ.
near sea so-that not the wings by the damp be-loosed
Ἴκαρος δὲ ἀμελήσας τῶν τοῦ πατρὸς ἐντολῶν 13
Icarus and having-neglected the of-the father injunctions
ψυχαγωγούμενος ἀεὶ μετέωρος ἐφέρετο· τακείσης δὲ τῆς
being-beguiled always aloft was-borne having-melted and the
κόλλης πεσὼν εἰς τὴν ἀπ᾽ ἐκείνου κληθεῖσαν Ἰκαρίαν
glue having-fallen into the after him called Icarian
θάλασσαν ἀπέθανε. Δαίδαλος δὲ διασώζεται εἰς Κάμικον
sea died Daedalus and is-saved to Camicus
τῆς Σικελίας.
— of-Sicily

Δαίδαλον δὲ ἐδίωκε Μίνως, καὶ καθ᾽ ἑκάστην χώραν 14
Daedalus and pursued Minos and in each country
ἐρευνῶν ἐκόμιζε κόχλον, καὶ πολὺν ἐπηγγέλλετο
searching carried a-spiral-shell and much offered
δώσειν μισθὸν τῷ διὰ τοῦ κοχλίου λίνον
to-be-going-to-give reward to-the-one through the shell a-thread
διείραντι, διὰ τούτου νομίζων εὑρήσειν Δαίδαλον.
having-passed by this thinking to-be-going-to-find Daedalus

ἐλθὼν δὲ εἰς Κάμικον τῆς Σικελίας παρὰ Κώκαλον,
having-come and to Camicus — of-Sicily to Cocalus
παρ᾽ ᾧ Δαίδαλος ἐκρύπτετο, δείκνυσι τὸν κοχλίαν. ὁ
with whom Daedalus was-hidden shows the shell he
δὲ λαβὼν ἐπηγγέλλετο διείρειν καὶ Δαιδάλῳ δίδωσιν·
and having-taken undertook to-thread-it and to-Daedalus gives
15 ὁ δὲ ἐξάψας μύρμηκος λίνον καὶ τρήσας τὸν κοχλίαν
he and having-fastened to-an-ant a-thread and having-bored the shell
εἴασε δι᾽ αὐτοῦ διελθεῖν. λαβὼν δὲ Μίνως τὸ λίνον
allowed through it to-pass having-taken and Minos the thread
διειρμένον ᾔσθετο ὄντα παρ᾽ ἐκείνῳ Δαίδαλον, καὶ
threaded perceived being with him Daedalus and
εὐθέως ἀπῄτει. Κώκαλος δὲ ὑποσχόμενος ἐκδώσειν
at-once demanded Cocalus and having-promised to-be-going-to-give-up
ἐξένισεν αὐτόν· ὁ δὲ λουσάμενος ὑπὸ τῶν Κωκάλου
entertained him he and bathing by the of-Cocalus
θυγατέρων ἔκλυτος ἐγένετο· ὡς δὲ ἔνιοί φασι, ζεστῷ
daughters undone was as but some say with-boiling-water
καταχυθεὶς μετήλλαξεν.
having-been-drenched died
16 συστρατευσάμενος δὲ ἐπὶ Ἀμαζόνας Ἡρακλεῖ ἥρπασεν
having-fought-with and against Amazons with-Heracles he-carried-off
Ἀντιόπην, ὡς δέ τινες Μελανίππην, Σιμωνίδης δὲ
Antiope as but some Melanippe Simonides but
Ἱππολύτην. διὸ ἐστράτευσαν ἐπ᾽ Ἀθήνας Ἀμαζόνες. καὶ
Hippolyte wherefore marched against Athens Amazons and
στρατοπεδευσαμένας αὐτὰς περὶ τὸν Ἄρειον πάγον Θησεὺς
encamped them about the of-Ares hill Theseus
μετὰ Ἀθηναίων ἐνίκησεν. ἔχων δὲ ἐκ τῆς Ἀμαζόνος
with Athenians conquered having and from the Amazon
παῖδα Ἱππόλυτον,
a-son Hippolytus

λαμβάνει μετὰ ταῦτα παρὰ Δευκαλίωνος Φαίδραν τὴν 17
receives after these-things from Deucalion Phaedra the
Μίνωος θυγατέρα, ἧς ἐπιτελουμένων τῶν γάμων Ἀμαζὼν ἡ
of-Minos daughter whose being-celebrated the marriage Amazon the
προγαμηθεῖσα Θησεῖ τοὺς συγκατακειμένους σὺν ταῖς μεθ'
previously-married to-Theseus the-ones lying-at-table with the with
ἑαυτῆς Ἀμαζόσιν ἐπιστᾶσα σὺν ὅπλοις κτείνειν ἔμελλεν.
herself Amazons having-set-upon-them with arms to-kill was-about
οἱ δὲ κλείσαντες διὰ τάχους τὰς θύρας ἀπέκτειναν αὐτὴν.
they and having-shut with speed the doors killed her
τινὲς δὲ μαχομένην αὐτὴν ὑπὸ Θησέως λέγουσιν ἀποθανεῖν.
some but fighting her by Theseus say to-have-died
Φαίδρα δὲ γεννήσασα Θησεῖ δύο παιδία Ἀκάμαντα 18
Phaedra and having-borne to-Theseus two children Acamas
καὶ Δημοφῶντα ἐρᾷ τοῦ ἐκ τῆς Ἀμαζόνος παιδὸς καὶ
and Demophon loves the from the Amazon son and
δεῖται συνελθεῖν αὐτῇ. ὁ δὲ μισῶν πάσας γυναῖκας τὴν
begs to-lie-with her he and hating all women the
συνουσίαν ἔφυγεν. ἡ δὲ Φαίδρα, δείσασα μὴ τῷ πατρὶ
intercourse fled — and Phaedra having-feared lest to-the father
διαβάλῃ, κατασχίσασα τὰς τοῦ θαλάμου θύρας καὶ τὰς
he-accuse having-broken-open the of-the bedchamber doors and the
ἐσθῆτας σπαράξασα κατεψεύσατο Ἱππολύτου βίαν.
clothes having-rent falsely-alleged of-Hippolytus violence
Θησεὺς δὲ πιστεύσας ηὔξατο Ποσειδῶνι Ἱππόλυτον 19
Theseus and having-believed prayed to-Poseidon Hippolytus
διαφθαρῆναι· ὁ δέ, θέοντος αὐτοῦ ἐπὶ τοῦ ἅρματος καὶ παρὰ
to-perish he and running him on the chariot and beside
τῇ θαλάσσῃ ὀχουμένου, ταῦρον ἀνῆκεν ἐκ τοῦ κλύδωνος.
the sea riding a-bull sent-up from the surf
πτοηθέντων δὲ τῶν ἵππων κατηρράχθη τὸ ἅρμα. ἐμπλακεὶς
having-taken-fright and the horses was-dashed-to-pieces the chariot entangled

δὲ ταῖς ἡνίαις Ἱππόλυτος συρόμενος ἀπέθανε. γενομένου
and in-the reins Hippolytus dragged died having-become
δὲ τοῦ ἔρωτος περιφανοῦς ἑαυτὴν ἀνήρτησε Φαίδρα.
and the passion manifest herself hanged Phaedra
20 ὅτι ὁ Ἰξίων Ἥρας ἐρασθεὶς ἐπεχείρει βιάζεσθαι, καὶ
that — Ixion with-Hera having-fallen-in-love attempted to-violate and
προσαγγειλάσης τῆς Ἥρας γνῶναι θέλων ὁ Ζεύς, εἰ οὕτως
having-reported — Hera to-know wishing — Zeus if so
ἔχει τὸ πρᾶγμα, νεφέλην ἐξεικάσας Ἥρᾳ παρέκλινεν αὐτῷ·
is the thing a-cloud having-likened to-Hera laid-beside him
καὶ καυχώμενον ὡς Ἥρᾳ μιγέντα ἐνέδησε τροχῷ,
and boasting as with-Hera having-had-intercourse he-bound to-a-wheel
ὑφ' οὗ φερόμενος διὰ πνευμάτων ἐν αἰθέρι ταύτην
by which carried through winds in air this
τίνει δίκην. νεφέλη δὲ ἐξ Ἰξίονος ἐγέννησε Κένταυρον.
pays penalty the-cloud and by Ixion bore Centaurus
21 συνεμάχησε δὲ τῷ Πειρίθῳ Θησεύς, ὅτε κατὰ
fought-alongside and — with-Pirithous Theseus when against
τῶν Κενταύρων συνεστήσατο πόλεμον. Πειρίθους γὰρ
the Centaurs he-raised war Pirithous for
Ἱπποδάμειαν μνηστευόμενος εἱστία Κενταύρους ὡς
Hippodamia wooing feasted Centaurs as
συγγενεῖς ὄντας αὐτῇ. ἀσυνήθως δὲ ἔχοντες οἴνου ἀφειδῶς
kinsmen being to-her unaccustomed and being to-wine lavishly
ἐμφορησάμενοι ἐμέθυον, καὶ εἰσαγομένην τὴν νύμφην
having-filled-themselves got-drunk and being-brought-in the bride
ἐπεχείρουν βιάζεσθαι· ὁ δὲ Πειρίθους μετὰ Θησέως
attempted to-violate — but Pirithous with Theseus
καθοπλισάμενος μάχην συνῆψε, καὶ πολλοὺς ὁ Θησεὺς
having-armed battle joined and many — Theseus
αὐτῶν ἀνεῖλεν.
of-them killed

ὅτι Καινεὺς πρότερον ἦν γυνή, συνελθόντος δὲ αὐτῇ 22
that Caeneus formerly was a-woman having-consorted and with-her
Ποσειδῶνος ᾐτήσατο ἀνὴρ γενέσθαι ἄτρωτος· διὸ καὶ
Poseidon she-asked a-man to-become invulnerable wherefore also
ἐν τῇ πρὸς Κενταύρους μάχῃ τραυμάτων καταφρονῶν
in the with Centaurs battle wounds despising
πολλοὺς τῶν Κενταύρων ἀπώλεσεν, οἱ δὲ λοιποί,
many of-the Centaurs destroyed the and rest
περιστάντες αὐτῷ, ἐλάταις τύπτοντες ἔχωσαν εἰς γῆν.
standing-round him with-firs striking buried into earth
ὅτι Θησεύς, Πειρίθῳ συνθέμενος Διὸς θυγατέρας γαμῆσαι, 23
that Theseus with-Pirithous having-agreed of-Zeus daughters to-marry
ἑαυτῷ μὲν ἐκ Σπάρτης μετ᾽ ἐκείνου ἥρπασεν Ἑλένην
for-himself indeed from Sparta with him carried-off Helen
δωδεκαέτη οὖσαν, Πειρίθῳ δὲ μνηστευόμενος τὸν
twelve-years-old being for-Pirithous and wooing the
Περσεφόνης γάμον εἰς Ἅιδου κάτεισι. καὶ Διόσκουροι
of-Persephone marriage to Hades goes-down and Dioscuri
μὲν μετὰ Λακεδαιμονίων καὶ Ἀρκάδων εἷλον Ἀθήνας καὶ
indeed with Lacedaemonians and Arcadians took Athens and
ἀπάγουσιν Ἑλένην καὶ μετὰ ταύτης Αἴθραν τὴν Πιτθέως
lead-away Helen and with her Aethra the daughter-of-Pittheus
αἰχμάλωτον· Δημοφῶν δὲ καὶ Ἀκάμας ἔφυγον. κατάγουσι δὲ
captive Demophon but and Acamas fled they-restore and
καὶ Μενεσθέα καὶ τὴν ἀρχὴν τῶν Ἀθηναίων διδόασι τούτῳ.
also Menestheus and the rule of-the Athenians give to-him
Θησεὺς δὲ μετὰ Πειρίθου παραγενόμενος εἰς Ἅιδου 24
Theseus and with Pirithous having-come to Hades
ἐξαπατᾶται, καὶ ὃς ὡς ξενίων μεταληψομένους πρῶτον ἐν
is-deceived and he as of-hospitality going-to-partake first in
τῷ τῆς Λήθης εἶπε καθεσθῆναι θρόνῳ, ᾧ προσφυέντες
the of-the Lethe said to-sit throne to-which having-grown-fast

σπείραις δρακόντων κατείχοντο. Πειρίθους μὲν οὖν εἰς ἀίδιον
with-coils of-serpents they-were-held Pirithous indeed then for ever
δεθεὶς ἔμεινε, Θησέα δὲ Ἡρακλῆς ἀναγαγὼν ἔπεμψεν εἰς
bound remained Theseus and Heracles having-brought-up sent to
Ἀθήνας. ἐκεῖθεν δὲ ὑπὸ Μενεσθέως ἐξελαθεὶς πρὸς Λυκομήδην
Athens thence and by Menestheus driven-out to Lycomedes
ἦλθεν, ὃς αὐτὸν βάλλει κατὰ βαράθρων καὶ ἀποκτείνει.
went who him throws down chasms and kills

II · TANTALUS AND THE HOUSE OF PELOPS

Tantalus is punished in Hades for revealing the gods' mysteries and sharing their ambrosia. Pelops wins from Poseidon a winged chariot. Oenomaus of Pisa races his daughter Hippodamia's suitors and kills them, until Myrtilus, his charioteer, leaves out the linchpins and Oenomaus is killed; Pelops throws Myrtilus into the sea, and his dying curse falls on the house. Atreus vows the finest of his flock to Artemis, hides the golden lamb instead, and his wife Aerope gives it to her lover Thyestes, who claims the throne with it; Zeus makes the sun go backward, and Atreus takes the kingdom. Learning of the adultery, he serves Thyestes his own sons, and Thyestes, told by an oracle, begets Aegisthus on his daughter to avenge them.

1 ὅτι ὁ Τάνταλος ἐν Ἅιδου κολάζεται, πέτρον ἔχων ὕπερθεν
that — Tantalus in Hades is-punished a-stone having above
ἑαυτοῦ ἐπιφερόμενον, ἐν λίμνῃ τε διατελῶν καὶ περὶ
himself overhanging in a-lake both continuing and about
τοὺς ὤμους ἑκατέρωσε δένδρα μετὰ καρπῶν ὁρῶν παρὰ
the shoulders on-either-side trees with fruits seeing beside
τῇ λίμνῃ πεφυκότα· τὸ μὲν οὖν ὕδωρ ψαύει αὐτοῦ τῶν
the lake grown the indeed then water touches his the
γενύων, καὶ ὅτε θέλοι σπάσασθαι τούτου ξηραίνεται, τῶν
jaws and when he-wished to-draw it is-dried-up of-the
δὲ καρπῶν ὁπότε βούλοιτο μεταλήψεσθαι μετεωρίζονται
and fruits whenever he-wished to-be-going-to-partake are-lifted

μέχρι νεφῶν ὑπ᾽ ἀνέμων τὰ δένδρα σὺν τοῖς καρποῖς.
as-far-as clouds by winds the trees with the fruits
κολάζεσθαι δὲ αὐτὸν οὕτως λέγουσί τινες, ὅτι τὰ
to-be-punished and him so say some because the-things
τῶν θεῶν ἐξελάλησεν ἀνθρώποις μυστήρια, καὶ ὅτι τῆς
of-the gods he-blabbed to-men mysteries and because of-the
ἀμβροσίας τοῖς ἡλικιώταις μετεδίδου.
ambrosia to-the age-mates he-shared
ὅτι Βροτέας κυνηγὸς ὢν τὴν Ἄρτεμιν οὐκ ἐτίμα· ἔλεγε 2
that Broteas hunter being — Artemis not honored said
δέ, ὡς οὐδ᾽ ἂν ὑπὸ πυρός τι πάθοι· ἐμμανὴς οὖν
and that not-even — by fire anything he-would-suffer mad then
γενόμενος ἔβαλεν εἰς πῦρ ἑαυτόν.
having-become he-threw into fire himself
ὅτι Πέλοψ σφαγεὶς ἐν τῷ τῶν θεῶν ἐράνῳ καὶ καθεψηθεὶς 3
that Pelops slaughtered at the of-the gods feast and boiled
ὡραιότερος ἐν τῇ ἀναζωώσει γέγονε, καὶ κάλλει διενεγκὼν
fairer in the restoration-to-life became and in-beauty excelling
Ποσειδῶνος ἐρώμενος γίνεται, ὃς αὐτῷ δίδωσιν ἅρμα
of-Poseidon beloved becomes who to-him gives a-chariot
ὑπόπτερον· τοῦτο καὶ διὰ θαλάσσης τρέχον τοὺς ἄξονας
winged this even through sea running the axles
οὐχ ὑγραίνετο.
not got-wet
τοῦ δὲ βασιλεύοντος Πίσης Οἰνομάου θυγατέρα ἔχοντος 4
the and reigning over-Pisa Oenomaus a-daughter having
Ἱπποδάμειαν, καὶ εἴτε αὐτῆς ἐρῶντος, ὥς τινες λέγουσιν,
Hippodamia and whether her loving as some say
εἴτε χρησμὸν ἔχοντος τελευτῆσαι ὑπὸ τοῦ γήμαντος
or an-oracle having to-die by the-one having-married
αὐτήν, οὐδεὶς αὐτὴν ἐλάμβανεν εἰς γυναῖκα· ὁ μὲν γὰρ
her no-one her took for wife — indeed for

πατὴρ οὐκ ἔπειθεν αὑτῷ συνελθεῖν, οἱ δὲ μνηστευόμενοι
father not persuaded with-himself to-consort the and suitors
ἀνῃροῦντο ὑπ᾽ αὐτοῦ.
were-killed by him
5 ἔχων γὰρ ὅπλα τε καὶ ἵππους παρὰ Ἄρεος ἆθλον
having for arms both and horses from Ares as-prize
ἐτίθει τοῖς μνηστῆρσι τὸν γάμον, καὶ τὸν μνηστευόμενον
he-set for-the suitors the marriage and the suitor
ἔδει ἀναλαβόντα τὴν Ἱπποδάμειαν εἰς τὸ οἰκεῖον
it-was-necessary having-taken-up — Hippodamia into the own
ἅρμα φεύγειν ἄχρι τοῦ Κορινθίων ἰσθμοῦ, τὸν δὲ Οἰνόμαον
chariot to-flee as-far-as the of-Corinthians isthmus the and Oenomaus
εὐθέως διώκειν καθωπλισμένον καὶ καταλαβόντα κτείνειν·
at-once to-pursue armed and having-overtaken to-kill
τὸν δὲ μὴ καταληφθέντα ἔχειν γυναῖκα τὴν Ἱπποδάμειαν.
the and not overtaken to-have as-wife — Hippodamia
καὶ τοῦτον τὸν τρόπον πολλοὺς μνηστευομένους ἀπέκτεινεν,
and this the way many suitors he-killed
ὡς δέ τινες λέγουσι δώδεκα· τὰς δὲ κεφαλὰς τῶν
as but some say twelve the and heads of-the
μνηστήρων ἐκτεμὼν τῇ οἰκίᾳ προσεπαττάλευε.
suitors having-cut-off on-the house he-nailed-up
6 παραγίνεται τοίνυν καὶ Πέλοψ ἐπὶ τὴν μνηστείαν· οὗ τὸ
comes then also Pelops to the wooing whose the
κάλλος ἰδοῦσα ἡ Ἱπποδάμεια ἔρωτα ἔσχεν αὐτοῦ, καὶ
beauty having-seen — Hippodamia love conceived for-him and
πείθει Μυρτίλον τὸν Ἑρμοῦ παῖδα συλλαβέσθαι αὐτῷ·
persuades Myrtilus the of-Hermes son to-help him
ἦν δὲ Μυρτίλος ἡνίοχος Οἰνομάου.
was and Myrtilus charioteer of-Oenomaus

Μυρτίλος οὖν ἐρῶν αὐτῆς καὶ βουλόμενος αὐτῇ χαρίσασθαι, 7
Myrtilus then loving her and wishing her to-gratify
ταῖς χοινικίσι τῶν τροχῶν τοὺς ἥλους οὐκ ἐμβαλὼν
in-the naves of-the wheels the linchpins not having-inserted
ἐποίησε τὸν Οἰνόμαον ἐν τῷ τρέχειν ἡττηθῆναι καὶ ταῖς
made — Oenomaus in the running to-be-beaten and in-the
ἡνίαις συμπλακέντα συρόμενον ἀποθανεῖν, κατὰ δέ τινας
reins entangled dragged to-die according-to but some
ἀναιρεθῆναι ὑπὸ τοῦ Πέλοπος· ὃς ἐν τῷ ἀποθνήσκειν
to-have-been-killed by — Pelops who in the dying
κατηράσατο τῷ Μυρτίλῳ γνοὺς τὴν ἐπιβουλήν, ἵνα
cursed — Myrtilus having-recognized the plot that
ὑπὸ Πέλοπος ἀπόληται.
by Pelops he-might-perish
λαβὼν οὖν Πέλοψ τὴν Ἱπποδάμειαν καὶ διερχόμενος 8
having-taken then Pelops — Hippodamia and passing
ἐν τόπῳ τινί, τὸν Μυρτίλον ἔχων μεθ' ἑαυτοῦ, μικρὸν
in place a-certain — Myrtilus having with himself a-little
ἀναχωρεῖ κομίσων ὕδωρ διψώσῃ τῇ γυναικί· Μυρτίλος
withdraws going-to-fetch water for-thirsting the wife Myrtilus
δὲ ἐν τούτῳ βιάζειν αὐτὴν ἐπεχείρει. μαθὼν δὲ τοῦτο
and in this to-violate her attempted having-learned and this
παρ' αὐτῆς ὁ Πέλοψ ῥίπτει τὸν Μυρτίλον περὶ Γεραιστὸν
from her — Pelops throws — Myrtilus off Geraestus
ἀκρωτήριον εἰς τὸ ἀπ' ἐκείνου κληθὲν Μυρτῷον πέλαγος·
headland into the after him called Myrtoan sea
ὁ δὲ ῥιπτούμενος ἀρὰς ἔθετο κατὰ τοῦ Πέλοπος γένους.
he and being-thrown curses laid against — of-Pelops race
παραγενόμενος δὲ Πέλοψ ἐπ' ὠκεανὸν καὶ ἁγνισθεὶς ὑπὸ 9
having-come and Pelops to ocean and purified by
Ἡφαίστου, ἐπανελθὼν εἰς Πῖσαν τῆς Ἤλιδος τὴν Οἰνομάου
Hephaestus having-returned to Pisa — of-Elis the of-Oenomaus

βασιλείαν λαμβάνει, χειρωσάμενος τὴν πρότερον Ἀπίαν
kingdom receives having-subdued the formerly Apia
καὶ Πελασγιῶτιν λεγομένην, ἣν ἀφ' ἑαυτοῦ Πελοπόννησον
and Pelasgiotis called which after himself Peloponnese
ἐκάλεσεν.
he-called

10 ὅτι υἱοὶ Πέλοπος Πιτθεὺς Ἀτρεὺς Θυέστης καὶ ἕτεροι· γυνὴ
that sons of-Pelops Pittheus Atreus Thyestes and others wife
δὲ Ἀτρέως Ἀερόπη τοῦ Κατρέως, ἥτις ἦρα Θυέστου.
and of-Atreus Aerope the daughter-of-Catreus who loved Thyestes
ὁ δὲ Ἀτρεὺς εὐξάμενός ποτε τῶν αὐτοῦ ποιμνίων, ὅπερ
— *and Atreus having-vowed once of-the his-own flocks whatever*
ἂν κάλλιστον γένηται, τοῦτο θῦσαι Ἀρτέμιδι, λέγουσιν
— *fairest be-born this to-sacrifice to-Artemis they-say*
ἀρνὸς φανείσης χρυσῆς ὅτι κατημέλησε τῆς εὐχῆς·
a-lamb having-appeared golden that he-neglected the vow

11 πνίξας δὲ αὐτὴν εἰς λάρνακα κατέθετο κἀκεῖ ἐφύλασσε
having-strangled and it into a-chest he-put and-there kept
ταύτην· ἣν Ἀερόπη δίδωσι τῷ Θυέστῃ μοιχευθεῖσα ὑπ'
it which Aerope gives — to-Thyestes seduced by
αὐτοῦ. χρησμοῦ γὰρ γεγονότος τοῖς Μυκηναίοις ἑλέσθαι
him an-oracle for having-been-given to-the Mycenaeans to-choose
βασιλέα Πελοπίδην, μετεπέμψαντο Ἀτρέα καὶ Θυέστην.
king a-Pelopid they-sent-for Atreus and Thyestes
λόγου δὲ γενομένου περὶ τῆς βασιλείας ἐξεῖπε Θυέστης τῷ
debate and having-arisen about the kingdom declared Thyestes to-the
πλήθει τὴν βασιλείαν δεῖν ἔχειν τὸν ἔχοντα τὴν ἄρνα
multitude the kingdom to-be-necessary to-have the-one having the lamb
τὴν χρυσῆν· συνθεμένου δὲ τοῦ Ἀτρέως δείξας ἐβασίλευσε.
the golden having-agreed and — Atreus having-shown he-reigned

Ζεὺς δὲ Ἑρμῆν πέμπει πρὸς Ἀτρέα καὶ λέγει συνθέσθαι 12
Zeus and Hermes sends to Atreus and tells to-agree
πρὸς Θυέστην περὶ τοῦ βασιλεῦσαι Ἀτρέα, εἰ τὴν ἐναντίαν
with Thyestes about the to-reign Atreus if the opposite-way
ὁδεύσει ὁ Ἥλιος· Θυέστου δὲ συνθεμένου τὴν δύσιν εἰς
shall-travel the Sun Thyestes and having-agreed the setting toward
ἀνατολὰς ὁ Ἥλιος ἐποιήσατο· ὅθεν ἐκμαρτυρήσαντος τοῦ
east the Sun made whence having-borne-witness the
δαίμονος τὴν Θυέστου πλεονεξίαν, τὴν βασιλείαν Ἀτρεὺς
deity the of-Thyestes greed the kingdom Atreus
παρέλαβε καὶ Θυέστην ἐφυγάδευσεν.
received and Thyestes banished
αἰσθόμενος δὲ τῆς μοιχείας ὕστερον κήρυκα πέμψας 13
having-perceived and the adultery later a-herald having-sent
ἐπὶ διαλλαγὰς αὐτὸν ἐκάλει· καὶ ψευσάμενος εἶναι
for reconciliation him he-summoned and having-pretended to-be
φίλος, παραγενομένου τοὺς παῖδας, οὓς εἶχεν ἐκ νηίδος
friend having-come the sons whom he-had by naiad
νύμφης, Ἀγλαὸν καὶ Καλλιλέοντα καὶ Ὀρχομενόν, ἐπὶ τὸν
nymph Aglaus and Callileon and Orchomenus at the
Διὸς βωμὸν καθεσθέντας ἱκέτας ἔσφαξε, καὶ μελίσας
of-Zeus altar seated suppliants he-slaughtered and having-cut-up
καὶ καθεψήσας παρατίθησι Θυέστῃ χωρὶς τῶν ἄκρων,
and having-boiled serves to-Thyestes without the extremities
ἐμφορηθέντι δὲ δείκνυσι τὰ ἄκρα καὶ τῆς χώρας
having-eaten-his-fill and he-shows the extremities and from-the land
αὐτὸν ἐκβάλλει.
him casts-out
Θυέστης δὲ κατὰ πάντα τρόπον ζητῶν Ἀτρέα μετελθεῖν 14
Thyestes and in every way seeking Atreus to-punish
ἐχρηστηριάζετο περὶ τούτου καὶ λαμβάνει χρησμόν, ὡς εἰ
consulted-the-oracle about this and receives an-oracle that if

παῖδα γεννήσει τῇ θυγατρὶ συνελθών. ποιεῖ οὖν οὕτω
a-son he-should-beget with-the daughter having-consorted he-does then so
καὶ γεννᾷ ἐκ τῆς θυγατρὸς Αἴγισθον, ὃς ἀνδρωθεὶς καὶ
and begets from the daughter Aegisthus who having-grown-up and
μαθών, ὅτι Θυέστου παῖς ἐστι, κτείνας Ἀτρέα Θυέστῃ
having-learned that of-Thyestes son he-is having-killed Atreus to-Thyestes
τὴν βασιλείαν ἀποκατέστησεν.
the kingdom restored

15 τὸν δ' Ἀγαμέμνονα τροφὸς μετὰ τοῦ Μενελάου
the but Agamemnon a-nurse with — Menelaus
ἄγει πρὸς Πολυφείδεα, κρατοῦντα Σικυῶνος,
leads to Polyphides ruling Sicyon
ὃς πάλιν τούτους πέπομφε πρὸς Αἰτωλὸν Οἰνέα.
who again them sent to Aetolian Oeneus
μετ' οὐ πολὺ Τυνδάρεως τούτους κατάγει πάλιν,
after not long Tyndareus them brings-back again
οἳ τὸν Θυέστην μὲν αὐτὸν Ἥρας βωμῷ φυγόντα
who — Thyestes indeed himself to-Hera's altar having-fled
ὁρκώσαντες διώκουσιν οἰκεῖν τὴν Κυθηρίαν.
having-bound-by-oath drive to-dwell-in the Cytherian-land
οἱ δὲ Τυνδάρεω γαμβροὶ γίνονται θυγατράσιν,
they and of-Tyndareus sons-in-law become to-the-daughters
ὁ Ἀγαμέμνων μὲν λαβὼν σύνευνον Κλυταιμνήστραν,
— Agamemnon indeed having-taken as-bedfellow Clytemnestra
κτείνας αὐτῆς τὸν σύζυγον Τάνταλον τὸν Θυέστου
having-killed her the husband Tantalus the son-of-Thyestes
σὺν τέκνῳ πάνυ νεογνῷ, Μενέλαος Ἑλένην.
with child very new-born Menelaus Helen

Ἀγαμέμνων δὲ βασιλεύει Μυκηναίων καὶ γαμεῖ Τυνδάρεω 16
Agamemnon and reigns over-Mycenaeans and marries of-Tyndareus
θυγατέρα Κλυταιμνήστραν, τὸν πρότερον αὐτῆς ἄνδρα
daughter Clytemnestra the former her husband
Τάνταλον Θυέστου σὺν τῷ παιδὶ κτείνας, καὶ γίνεται αὐτῷ
Tantalus son-of-Thyestes with the child having-killed and is-born to-him
παῖς μὲν Ὀρέστης, θυγατέρες δὲ Χρυσόθεμις Ἠλέκτρα
a-son indeed Orestes daughters and Chrysothemis Electra
Ἰφιγένεια. Μενέλαος δὲ Ἑλένην γαμεῖ καὶ βασιλεύει
Iphigenia Menelaus and Helen marries and reigns
Σπάρτης, Τυνδάρεω τὴν βασιλείαν δόντος αὐτῷ.
over-Sparta Tyndareus the kingdom having-given to-him

III · THE GATHERING AT AULIS

To make his daughter famous, or to exalt the race of demigods, Zeus has Strife throw her apple among the goddesses; Alexander judges them and carries off Helen, though some say only a phantom of her went to Troy. Odysseus feigns madness, Palamedes exposes him, and Odysseus later contrives his death. A thousand and thirteen ships gather at Aulis, where a serpent devours nine sparrows and Calchas foretells ten years of war. The first expedition lands in Mysia, and Telephus, wounded by Achilles, is healed by the rust of his spear. Iphigenia is brought for sacrifice and carried off by Artemis. Philoctetes, bitten by a water snake, is left on Lemnos; Protesilaus dies first ashore, and Achilles spends nine years sacking Troy's neighbors.

αὖθις δὲ Ἑλένην Ἀλέξανδρος ἁρπάζει, ὥς τινες λέγουσι 1
later and Helen Alexander carries-off as some say
κατὰ βούλησιν Διός, ἵνα Εὐρώπης καὶ Ἀσίας εἰς πόλεμον
according-to will of-Zeus so-that of-Europe and Asia into war
ἐλθούσης ἡ θυγάτηρ αὐτοῦ ἔνδοξος γένηται, ἢ καθάπερ
having-come the daughter his famous might-become or as
εἶπον ἄλλοι ὅπως τὸ τῶν ἡμιθέων γένος ἀρθῇ.
said others in-order-that the of-the demigods race might-be-exalted

2 διὰ δὴ τούτων μίαν αἰτίαν μῆλον περὶ κάλλους Ἔρις
for indeed of-these one reason an-apple for beauty Strife
ἐμβάλλει Ἥρᾳ καὶ Ἀθηνᾷ καὶ Ἀφροδίτῃ, καὶ κελεύει
throws to-Hera and to-Athena and to-Aphrodite and bids
Ζεὺς Ἑρμῆν εἰς Ἴδην πρὸς Ἀλέξανδρον ἄγειν, ἵνα
Zeus Hermes to Ida to Alexander to-lead so-that
ὑπ᾽ ἐκείνου διακριθῶσι. αἱ δὲ ἐπαγγέλλονται δῶρα
by him they-might-be-judged they and promise gifts
δώσειν Ἀλεξάνδρῳ, Ἥρα μὲν πασῶν προκριθεῖσα
to-be-going-to-give to-Alexander Hera indeed of-all preferred
βασιλείαν πάντων, Ἀθηνᾶ δὲ πολέμου νίκην, Ἀφροδίτη δὲ
kingdom over-all Athena and of-war victory Aphrodite and
γάμον Ἑλένης. ὁ δὲ Ἀφροδίτην προκρίνει καὶ πηξαμένου
marriage with-Helen he and Aphrodite prefers and having-built
Φερέκλου ναῦς εἰς Σπάρτην ἐκπλέει.
Phereclus ships to Sparta sails-off

3 ἐφ᾽ ἡμέρας δ᾽ ἐννέα ξενισθεὶς παρὰ Μενελάῳ, τῇ δεκάτῃ
for days and nine entertained by Menelaus on-the tenth
πορευθέντος εἰς Κρήτην ἐκείνου κηδεῦσαι τὸν μητροπάτορα
having-gone to Crete he to-bury the mother's-father
Κατρέα, πείθει τὴν Ἑλένην ἀπαγαγεῖν σὺν ἑαυτῷ. ἡ δὲ
Catreus persuades — Helen to-go-off with himself she and
ἐννaέτη Ἑρμιόνην καταλιποῦσα, ἐνθεμένη τὰ πλεῖστα
nine-years-old Hermione having-left having-put-aboard the most
τῶν χρημάτων, ἀνάγεται τῆς νυκτὸς σὺν αὐτῷ.
of-the property puts-to-sea by-the night with him

4 Ἥρα δὲ αὐτοῖς ἐπιπέμπει χειμῶνα πολύν, ὑφ᾽ οὗ βιασθέντες
Hera and on-them sends a-storm great by which forced
προσίσχουσι Σιδῶνι. εὐλαβούμενος δὲ Ἀλέξανδρος μὴ
they-touch-at Sidon being-cautious and Alexander lest

διωχθῇ, πολὺν διέτριψε χρόνον ἐν Φοινίκῃ καὶ Κύπρῳ.
he-be-pursued much spent time in Phoenicia and Cyprus
ὡς δὲ ἀπήλπισε τὴν δίωξιν, ἦκεν εἰς Τροίαν μετὰ Ἑλένης.
when but he-despaired-of the pursuit he-came to Troy with Helen
ἔνιοι δέ φασιν Ἑλένην μὲν ὑπὸ Ἑρμοῦ κατὰ βούλησιν
some but say Helen indeed by Hermes according-to will
Διὸς κομισθῆναι κλαπεῖσαν εἰς Αἴγυπτον καὶ δοθεῖσαν
of-Zeus to-have-been-carried stolen to Egypt and given
Πρωτεῖ τῷ βασιλεῖ τῶν Αἰγυπτίων φυλάττειν, Ἀλέξανδρον
to-Proteus the king of-the Egyptians to-guard Alexander
δὲ παραγενέσθαι εἰς Τροίαν πεποιημένον ἐκ νεφῶν
and to-have-come to Troy made from clouds
εἴδωλον Ἑλένης ἔχοντα.
a-phantom of-Helen having
Μενέλαος δὲ αἰσθόμενος τὴν ἁρπαγὴν ἦκεν εἰς Μυκήνας
Menelaus and having-perceived the rape came to Mycenae
πρὸς Ἀγαμέμνονα, καὶ δεῖται στρατείαν ἐπὶ Τροίαν
to Agamemnon and begs an-army against Troy
ἀθροίζειν καὶ στρατολογεῖν τὴν Ἑλλάδα. ὁ δὲ πέμπων
to-muster and to-levy-troops-in — Greece he and sending
κήρυκα πρὸς ἕκαστον τῶν βασιλέων τῶν ὅρκων
a-herald to each of-the kings the oaths
ὑπεμίμνησκεν ὧν ὤμοσαν, καὶ περὶ τῆς ἰδίας γυναικὸς
reminded which they-swore and about the own wife
ἕκαστον ἀσφαλίζεσθαι παρῄνει, ἴσην λέγων γεγενῆσθαι
each to-take-heed advised equal saying to-have-been
τὴν τῆς Ἑλλάδος καταφρόνησιν καὶ κοινήν. ὄντων δὲ
the — of-Greece contempt and common being and
πολλῶν προθύμων στρατεύεσθαι, παραγίνονται καὶ πρὸς
many eager to-march they-come also to
Ὀδυσσέα εἰς Ἰθάκην.
Odysseus in Ithaca

7 ὁ δὲ οὐ βουλόμενος στρατεύεσθαι προσποιεῖται μανίαν.
he and not wishing to-march feigns madness
Παλαμήδης δὲ ὁ Ναυπλίου ἤλεγξε τὴν μανίαν ψευδῆ,
Palamedes but the son-of-Nauplius proved the madness false
καὶ προσποιησαμένῳ μεμηνέναι παρηκολούθει· ἁρπάσας
and feigning to-be-mad followed having-snatched
δὲ Τηλέμαχον ἐκ τοῦ κόλπου τῆς Πηνελόπης ὡς κτενῶν
and Telemachus from the bosom — of-Penelope as going-to-kill
ἐξιφούλκει. Ὀδυσσεὺς δὲ περὶ τοῦ παιδὸς εὐλαβηθεὶς
drew-the-sword Odysseus and about the child having-been-afraid
ὡμολόγησε τὴν προσποίητον μανίαν καὶ στρατεύεται.
confessed the feigned madness and marches

8 ὅτι Ὀδυσσεὺς λαβὼν αἰχμάλωτον Φρύγα ἠνάγκασε
that Odysseus having-taken captive a-Phrygian compelled
γράψαι περὶ προδοσίας ὡς παρὰ Πριάμου πρὸς Παλαμήδην·
to-write about treachery as from Priam to Palamedes
καὶ χώσας ἐν ταῖς σκηναῖς αὐτοῦ χρυσὸν τὴν δέλτον
and having-buried in the tents his gold the letter
ἔρριψεν ἐν τῷ στρατοπέδῳ. Ἀγαμέμνων δὲ ἀναγνοὺς καὶ
threw in the camp Agamemnon and having-read and
εὑρὼν τὸν χρυσόν, τοῖς συμμάχοις αὐτὸν ὡς προδότην
having-found the gold to-the allies him as traitor
παρέδωκε καταλεῦσαι.
handed-over to-stone

9 ὅτι Μενέλαος σὺν Ὀδυσσεῖ καὶ Ταλθυβίῳ πρὸς Κινύραν εἰς
that Menelaus with Odysseus and Talthybius to Cinyras to
Κύπρον ἐλθόντες συμμαχεῖν ἔπειθον· ὁ δὲ Ἀγαμέμνονι
Cyprus having-gone to-fight-as-ally tried-to-persuade he and to-Agamemnon
μὲν οὐ παρόντι θώρακας ἐδωρήσατο, ὀμόσας δὲ
indeed not present breastplates presented having-sworn and
πέμψειν πεντήκοντα ναῦς, μίαν πέμψας, ἧς ἦρχεν
to-be-going-to-send fifty ships one having-sent of-which commanded

*** ὁ Μυγδαλίωνος, καὶ τὰς λοιπὰς ἐκ γῆς πλάσας
(lacuna) the son-of-Mygdalion and the rest from earth having-molded
μεθῆκεν εἰς τὸ πέλαγος.
let-go into the sea
ὅτι θυγατέρες Ἀνίου τοῦ Ἀπόλλωνος Ἐλαΐς Σπερμὼ Οἰνώ, 10
that daughters of-Anius the son-of-Apollo Elais Spermo Oeno
αἱ Οἰνότροφοι λεγόμεναι· αἷς ἐχαρίσατο Διόνυσος ποιεῖν
the Wine-growers called to-whom granted Dionysus to-produce
ἐκ γῆς ἔλαιον σῖτον οἶνον.
from earth oil grain wine
συνηθροίζετο δὲ ὁ στρατὸς ἐν Αὐλίδι. οἱ δὲ στρατεύσαντες 11
was-mustered and the army in Aulis the and having-marched
ἐπὶ Τροίαν ἦσαν οἵδε. Βοιωτῶν μὲν ἡγεμόνες δέκα·
against Troy were these of-Boeotians indeed leaders ten
ἦγον ναῦς μ΄. Ὀρχομενίων δ΄· ἦγον ναῦς λ΄. Φωκέων
they-led ships 40 of-Orchomenians 4 they-led ships 30 of-Phocians
ἡγεμόνες δ΄· ἦγον ναῦς μ΄. Λοκρῶν Αἴας Ὀιλέως· ἦγε
leaders 4 they-led ships 40 of-Locrians Ajax son-of-Oileus he-led
ναῦς μ΄. Εὐβοέων Ἐλεφήνωρ Χαλκώδοντος καὶ Ἀλκυόνης·
ships 40 of-Euboeans Elephenor son-of-Chalcodon and of-Alcyone
ἦγε ναῦς μ΄. Ἀθηναίων Μενεσθεύς· ἦγε ναῦς ν΄.
he-led ships 40 of-Athenians Menestheus he-led ships 50
Σαλαμινίων Αἴας ὁ Τελαμώνιος· ἦγε ναῦς ιβ΄. Ἀργείων 12
of-Salaminians Ajax the son-of-Telamon he-led ships 12 of-Argives
Διομήδης Τυδέως καὶ οἱ σὺν αὐτῷ· ἦγον ναῦς
Diomedes son-of-Tydeus and the-ones with him they-led ships
π΄. Μυκηναίων Ἀγαμέμνων Ἀτρέως καὶ Ἀερόπης ναῦς
80 of-Mycenaeans Agamemnon son-of-Atreus and of-Aerope ships
ρ΄. Λακεδαιμονίων Μενέλαος Ἀτρέως καὶ Ἀερόπης ξ΄.
100 of-Lacedaemonians Menelaus son-of-Atreus and of-Aerope 60
Πυλίων Νέστωρ Νηλέως καὶ Χλωρίδος ναῦς μ΄. Ἀρκάδων
of-Pylians Nestor son-of-Neleus and of-Chloris ships 40 of-Arcadians

Ἀγαπήνωρ ναῦς ζ΄. Ἠλείων Ἀμφίμαχος καὶ οἱ σὺν
Agapenor ships 7 of-Eleans Amphimachus and the-ones with
αὐτῷ ναῦς μ΄. Δουλιχίων Μέγης Φυλέως ναῦς μ΄.
him ships 40 of-Dulichians Meges son-of-Phyleus ships 40
Κεφαλλήνων Ὀδυσσεὺς Λαέρτου καὶ Ἀντικλείας ναῦς ιβ΄.
of-Cephallenians Odysseus son-of-Laertes and of-Anticlia ships 12
Αἰτωλῶν Θόας Ἀνδραίμονος καὶ Γόργης· ἦγε ναῦς μ΄.
of-Aetolians Thoas son-of-Andraemon and of-Gorge he-led ships 40
13 Κρητῶν Ἰδομενεὺς Δευκαλίωνος μ΄. Ῥοδίων Τληπόλεμος
of-Cretans Idomeneus son-of-Deucalion 40 of-Rhodians Tlepolemus
Ἡρακλέους καὶ Ἀστυόχης ναῦς θ΄. Συμαίων Νιρεὺς
son-of-Heracles and of-Astyoche ships 9 of-Symaeans Nireus
Χαρόπου ναῦς γ΄. Κώων Φείδιππος καὶ Ἄντιφος οἱ
son-of-Charopus ships 3 of-Coans Phidippus and Antiphus the
Θεσσαλοῦ λ΄.
sons-of-Thessalus 30
14 Μυρμιδόνων Ἀχιλλεὺς Πηλέως καὶ Θέτιδος ν΄. ἐκ Φυλάκης
of-Myrmidons Achilles son-of-Peleus and of-Thetis 50 from Phylace
Πρωτεσίλαος Ἰφίκλου μ΄. Φεραίων Εὔμηλος Ἀδμήτου
Protesilaus son-of-Iphiclus 40 of-Pheraeans Eumelus son-of-Admetus
ια΄. Ὀλιζώνων Φιλοκτήτης Ποίαντος ζ΄. Αἰνιάνων Γουνεὺς
11 of-Olizonians Philoctetes son-of-Poeas 7 of-Aenianians Guneus
Ὠκύτου κβ΄. Τρικκαίων Ποδαλείριος *** λ΄. Ὀρμενίων
son-of-Ocytus 22 of-Triccaeans Podalirius (lacuna) 30 of-Ormenians
Εὐρύπυλος *** ναῦς μ΄. Γυρτωνίων Πολυποίτης Πειρίθου
Eurypylus (lacuna) ships 40 of-Gyrtonians Polypoetes son-of-Pirithous
λ΄. Μαγνήτων Πρόθοος Τενθρήδονος μ΄. νῆες μὲν οὖν
30 of-Magnesians Prothous son-of-Tentbredon 40 ships indeed then
αἱ πᾶσαι ,αιγ΄, ἡγεμόνες δὲ μγ΄, ἡγεμονεῖαι δὲ λ΄·
the all 1013 leaders and 43 leaderships and 30

ὅτι ὄντος ἐν Αὐλίδι τοῦ στρατεύματος, θυσίας γενομένης 15
that being in Aulis the army a-sacrifice having-taken-place
Ἀπόλλωνι, ὁρμήσας δράκων ἐκ τοῦ βωμοῦ παρὰ τὴν
to-Apollo having-darted a-serpent from the altar to the
πλησίον πλάτανον, οὔσης ἐν αὐτῇ νεοττιᾶς, τοὺς ἐν
near plane-tree there-being in it a-nest the-ones in
αὐτῇ καταναλώσας στρουθοὺς ὀκτὼ σὺν τῇ μητρὶ ἐνάτῃ
it having-devoured sparrows eight with the mother ninth
λίθος ἐγένετο. Κάλχας δὲ εἰπὼν κατὰ Διὸς βούλησιν
stone became Calchas and having-said by of-Zeus will
γεγονέναι αὐτοῖς τὸ σημεῖον τοῦτο, τεκμηράμενος ἐκ τῶν
to-have-happened to-them the sign this having-judged from the
γεγονότων ἔφη δεκαετεῖ χρόνῳ δεῖν Τροίαν ἁλῶναι.
happenings said in-ten-years time it-was-necessary Troy to-be-taken
καὶ πλεῖν παρεσκευάζοντο ἐπὶ Τροίαν. Ἀγαμέμνων οὖν 16
and to-sail they-prepared against Troy Agamemnon then
αὐτὸς ἡγεμὼν τοῦ σύμπαντος στρατοῦ ἦν, ἐναυάρχει δ'
himself leader of-the whole army was was-admiral and
Ἀχιλλεὺς πεντεκαιδεκαέτης τυγχάνων.
Achilles fifteen-years-old being
ἀγνοοῦντες δὲ τὸν ἐπὶ Τροίαν πλοῦν Μυσίᾳ προσίσχουσι 17
not-knowing and the to Troy voyage at-Mysia they-touch
καὶ ταύτην ἐπόρθουν, Τροίαν νομίζοντες εἶναι. βασιλεύων
and this ravaged Troy thinking to-be reigning
δὲ Τήλεφος Μυσῶν, Ἡρακλέους παῖς, ἰδὼν τὴν
and Telephus over-Mysians of-Heracles son having-seen the
χώραν λεηλατουμένην, τοὺς Μυσοὺς καθοπλίσας ἐπὶ τὰς
land being-plundered the Mysians having-armed to the
ναῦς συνεδίωκε τοὺς Ἕλληνας καὶ πολλοὺς ἀπέκτεινεν,
ships chased the Greeks and many killed
ἐν οἷς καὶ Θέρσανδρον τὸν Πολυνείκους ὑποστάντα.
among whom also Thersander the son-of-Polynices having-withstood

ὁρμήσαντος δὲ Ἀχιλλέως ἐπ᾽ αὐτὸν οὐ μείνας ἐδιώκετο·
having-rushed and Achilles at him not having-stood he-was-pursued
καὶ διωκόμενος ἐμπλακεὶς εἰς ἀμπέλου κλῆμα τὸν
and being-pursued having-been-entangled in a-vine tendril in-the
μηρὸν τιτρώσκεται δόρατι.
thigh is-wounded by-a-spear

18 τῆς δὲ Μυσίας ἐξελθόντες Ἕλληνες ἀνάγονται, καὶ
the and Mysia having-left Greeks put-to-sea and
χειμῶνος ἐπιγενομένου σφοδροῦ διαζευχθέντες ἀλλήλων
storm having-come-on violent separated from-one-another
εἰς τὰς πατρίδας καταντῶσιν. ὑποστρεψάντων οὖν τῶν
to the fatherlands arrive having-returned then the
Ἑλλήνων τότε λέγεται τὸν πόλεμον εἰκοσαετῆ γενέσθαι·
Greeks then it-is-said the war twenty-years to-have-lasted
μετὰ γὰρ τὴν Ἑλένης ἁρπαγὴν ἔτει δευτέρῳ τοὺς Ἕλληνας
after for the of-Helen rape in-year second the Greeks
παρασκευασαμένους στρατεύεσθαι, ἀναχωρήσαντας δὲ ἀπὸ
having-prepared to-march having-withdrawn and from
Μυσίας εἰς Ἑλλάδα μετὰ ἔτη ὀκτὼ πάλιν εἰς Ἄργος
Mysia to Greece after years eight again to Argos
μεταστραφέντας ἐλθεῖν εἰς Αὐλίδα.
having-returned to-have-come to Aulis

19 συνελθόντων δὲ αὐτῶν ἐν Ἄργει αὖθις μετὰ τὴν ῥηθεῖσαν
having-assembled and they in Argos again after the said
ὀκταετίαν, ἐν ἀπορίᾳ τοῦ πλοῦ πολλῇ καθεστήκεσαν,
eight-years in perplexity about-the voyage great they-were
καθηγεμόνα μὴ ἔχοντες, ὃς ἦν δυνατὸς δεῖξαι τὴν εἰς Τροίαν.
a-guide not having who was able to-show the to Troy

20 Τήλεφος δὲ ἐκ τῆς Μυσίας, ἀνίατον τὸ τραῦμα
Telephus and from — Mysia incurable the wound
ἔχων, εἰπόντος αὐτῷ τοῦ Ἀπόλλωνος τότε τεύξεσθαι
having having-told to-him — Apollo then to-be-going-to-obtain

θεραπείας, ὅταν ὁ τρώσας ἰατρὸς γένηται, τρύχεσιν
healing when the-one having-wounded physician becomes in-rags
ἠμφιεσμένος εἰς Ἄργος ἀφίκετο, καὶ δεηθεὶς Ἀχιλλέως
clad to Argos came and having-begged Achilles
καὶ ὑπεσχημένος τὸν εἰς Τροίαν πλοῦν δεῖξαι θεραπεύεται
and having-promised the to Troy voyage to-show is-healed
ἀποξύσαντος Ἀχιλλέως τῆς Πηλιάδος μελίας τὸν ἰόν.
having-scraped-off Achilles from-the Pelian ash the rust
θεραπευθεὶς οὖν ἔδειξε τὸν πλοῦν, τὸ τῆς δείξεως ἀσφαλὲς
healed then he-showed the voyage the of-the showing certainty
πιστουμένου τοῦ Κάλχαντος διὰ τῆς ἑαυτοῦ μαντικῆς.
confirming — Calchas by the his-own prophecy
ἀναχθέντων δὲ αὐτῶν ἀπ᾽ Ἄργους καὶ παραγενομένων 21
having-put-to-sea and them from Argos and having-arrived
τὸ δεύτερον εἰς Αὐλίδα, τὸν στόλον ἄπλοια κατεῖχε·
the second-time at Aulis the fleet a-calm held-back
Κάλχας δὲ ἔφη οὐκ ἄλλως δύνασθαι πλεῖν αὐτούς, εἰ
Calchas but said not otherwise to-be-able to-sail them if
μὴ τῶν Ἀγαμέμνονος θυγατέρων ἡ κρατιστεύουσα κάλλει
not of-the of-Agamemnon daughters the excelling in-beauty
σφάγιον Ἀρτέμιδι παραστῇ, διὰ τὸ μηνίειν τὴν θεὸν
as-victim to-Artemis be-presented because-of the to-be-angry the goddess
τῷ Ἀγαμέμνονι, ὅτι τε βαλὼν ἔλαφον εἶπεν· οὐδὲ ἡ
— with-Agamemnon because both having-shot a-deer he-said not-even —
Ἄρτεμις, καὶ ὅτι Ἀτρεὺς οὐκ ἔθυσεν αὐτῇ τὴν χρυσῆν ἄρνα.
Artemis and because Atreus not sacrificed to-her the golden lamb
τοῦ δὲ χρησμοῦ τούτου γενομένου, πέμψας Ἀγαμέμνων 22
the and oracle this having-been-given having-sent Agamemnon
πρὸς Κλυταιμνήστραν Ὀδυσσέα καὶ Ταλθύβιον Ἰφιγένειαν
to Clytemnestra Odysseus and Talthybius Iphigenia
ᾔτει, λέγων ὑπεσχῆσθαι δώσειν αὐτὴν Ἀχιλλεῖ γυναῖκα
asked saying to-have-promised to-be-going-to-give her to-Achilles as-wife

μισθὸν τῆς στρατείας. πεμψάσης δὲ ἐκείνης Ἀγαμέμνων
reward of-the expedition having-sent and her Agamemnon
τῷ βωμῷ παραστήσας ἔμελλε σφάζειν, Ἄρτεμις δὲ αὐτὴν
to-the altar having-set was-about to-slaughter Artemis but her
ἁρπάσασα εἰς Ταύρους ἱέρειαν ἑαυτῆς κατέστησεν,
having-snatched-away to Taurians priestess of-herself appointed
ἔλαφον ἀντ᾽ αὐτῆς παραστήσασα τῷ βωμῷ· ὡς δὲ
a-deer in-place-of her having-set-beside the altar as but
ἔνιοι λέγουσιν, ἀθάνατον αὐτὴν ἐποίησεν.
some say immortal her she-made

23 οἱ δὲ ἀναχθέντες ἐξ Αὐλίδος προσέσχον Τενέδῳ. ταύτης
the and having-put-to-sea from Aulis touched-at Tenedos this
ἐβασίλευε Τένης ὁ Κύκνου καὶ Προκλείας, ὡς δέ τινες
ruled Tenes the son-of-Cycnus and of-Proclia as but some
Ἀπόλλωνος· οὗτος ὑπὸ τοῦ πατρὸς φυγαδευθεὶς ἐνταῦθα
of-Apollo he by the father banished there
κατῴκει.
dwelt

24 Κύκνος γὰρ ἔχων ἐκ Προκλείας τῆς Λαομέδοντος
Cycnus for having by Proclia the daughter-of-Laomedon
παῖδα μὲν Τένην, θυγατέρα δὲ Ἡμιθέαν, ἐπέγημε τὴν
a-son indeed Tenes a-daughter and Hemithea married-again the
Τραγάσου Φιλονόμην· ἥτις Τένου ἐρασθεῖσα καὶ
daughter-of-Tragasus Philonome who with-Tenes having-fallen-in-love and
μὴ πείθουσα καταψεύδεται πρὸς Κύκνον αὐτοῦ φθοράν,
not persuading falsely-accuses to Cycnus his seduction
καὶ τούτου μάρτυρα παρεῖχεν αὐλητὴν Εὔμολπον ὄνομα.
and of-this as-witness produced a-flute-player Eumolpus by-name

25 Κύκνος δὲ πιστεύσας, ἐνθέμενος αὐτὸν μετὰ τῆς ἀδελφῆς
Cycnus and having-believed having-put him with the sister
εἰς λάρνακα μεθῆκεν εἰς τὸ πέλαγος· προσσχούσης δὲ
into a-chest let-go into the sea having-touched and

αὐτῆς Λευκόφρυι νήσῳ ἐκβὰς ὁ Τένης κατῴκησε
it at-Leucophrys island having-landed — Tenes settled
ταύτην καὶ ἀπ᾽ αὐτοῦ Τένεδον ἐκάλεσε. Κύκνος δὲ ὕστερον
it and after himself Tenedos called Cycnus and later
ἐπιγνοὺς τὴν ἀλήθειαν τὸν μὲν αὐλητὴν κατέλευσε, τὴν
having-learned the truth the indeed flute-player stoned the
δὲ γυναῖκα ζῶσαν εἰς γῆν κατέχωσε.
and wife alive in earth buried
προσπλέοντας οὖν Τενέδῳ τοὺς Ἕλληνας ὁρῶν Τένης 26
sailing-toward then Tenedos the Greeks seeing Tenes
ἀπεῖργε βάλλων πέτρους, καὶ ὑπὸ Ἀχιλλέως ξίφει
kept-off throwing stones and by Achilles with-a-sword
πληγεὶς κατὰ τὸ στῆθος θνήσκει, καίτοι Θέτιδος
struck on the breast dies although Thetis
προειπούσης Ἀχιλλεῖ μὴ κτεῖναι Τένην· τεθνήξεσθαι γὰρ
having-forewarned Achilles not to-kill Tenes to-be-going-to-die for
ὑπὸ Ἀπόλλωνος αὐτόν, ἐὰν κτείνῃ Τένην.
by Apollo him if he-should-kill Tenes
τελούντων δὲ αὐτῶν Ἀπόλλωνι θυσίαν, ἐκ τοῦ βωμοῦ 27
performing and they to-Apollo a-sacrifice from the altar
προσελθὼν ὕδρος δάκνει Φιλοκτήτην· ἀθεραπεύτου δὲ τοῦ
having-come-out a-water-snake bites Philoctetes incurable and the
ἕλκους καὶ δυσώδους γενομένου τῆς τε ὀδμῆς οὐκ ἀνεχομένου
sore and foul-smelling having-become the and stench not enduring
τοῦ στρατοῦ, Ὀδυσσεὺς αὐτὸν εἰς Λῆμνον μεθ᾽ ὧν εἶχε
the army Odysseus him in Lemnos with which he-had
τόξων Ἡρακλείων ἐκτίθησι κελεύσαντος Ἀγαμέμνονος. ὁ
bow of-Heracles puts-ashore having-ordered Agamemnon he
δὲ ἐκεῖ τὰ πτηνὰ τοξεύων ἐπὶ τῆς ἐρημίας τροφὴν εἶχεν.
and there the birds shooting in the wilderness food had

28 ἀναχθέντες δὲ ἀπὸ τῆς Τενέδου προσέπλεον Τροίᾳ, καὶ
having-put-to-sea and from — Tenedos they-sailed-toward Troy and
πέμπουσιν Ὀδυσσέα καὶ Μενέλαον τὴν Ἑλένην καὶ τὰ
send Odysseus and Menelaus — Helen and the
χρήματα ἀπαιτοῦντας. συναθροισθείσης δὲ παρὰ τοῖς
property demanding-back having-been-gathered and among the
Τρωσὶν ἐκκλησίας, οὐ μόνον τὴν Ἑλένην οὐκ ἀπεδίδουν
Trojans an-assembly not only — Helen not they-gave-back
ἀλλὰ καὶ τούτους κτείνειν ἤθελον.
but also these to-kill wished
29 ἀλλὰ τοὺς μὲν ἔσωσεν Ἀντήνωρ, οἱ δὲ Ἕλληνες, ἀχθόμενοι
but them indeed saved Antenor the and Greeks vexed
ἐπὶ τῇ τῶν βαρβάρων καταφρονήσει, ἀναλαβόντες τὴν
at the of-the barbarians contempt having-taken-up the
πανοπλίαν ἔπλεον ἐπ᾽ αὐτούς. Ἀχιλλεῖ δὲ ἐπιστέλλει Θέτις
panoply sailed against them to-Achilles and enjoins Thetis
πρῶτον μὴ ἀποβῆναι τῶν νεῶν· τὸν γὰρ ἀποβάντα
first not to-land from-the ships the-one for having-landed
πρῶτον πρῶτον μέλλειν τελευτήσειν. πυθόμενοι δὲ οἱ
first first to-be-going to-die having-learned and the
βάρβαροι τὸν στόλον ἐπιπλεῖν, σὺν ὅπλοις ἐπὶ τὴν θάλασσαν
barbarians the fleet to-be-sailing-on with arms to the sea
ὥρμησαν καὶ βάλλοντες πέτροις ἀποβῆναι ἐκώλυον.
rushed and throwing stones to-land prevented
30 τῶν δὲ Ἑλλήνων πρῶτος ἀπέβη τῆς νεὼς Πρωτεσίλαος,
of-the and Greeks first landed from-the ship Protesilaus
καὶ κτείνας οὐκ ὀλίγους τῶν βαρβάρων ὑφ᾽ Ἕκτορος
and having-killed not few of-the barbarians by Hector
θνήσκει. τούτου ἡ γυνὴ Λαοδάμεια καὶ μετὰ θάνατον
dies his the wife Laodamia even after death
ἤρα, καὶ ποιήσασα εἴδωλον Πρωτεσιλάῳ παραπλήσιον
loved and having-made an-image to-Protesilaus resembling

τούτῳ προσωμίλει. Ἑρμῆς δὲ ἐλεησάντων θεῶν ἀνήγαγε
with-this consorted Hermes and having-pitied the-gods brought-up
Πρωτεσίλαον ἐξ Ἅιδου. Λαοδάμεια δὲ ἰδοῦσα καὶ
Protesilaus from Hades Laodamia and having-seen and
νομίσασα αὐτὸν ἐκ Τροίας παρεῖναι τότε μὲν ἐχάρη,
having-thought him from Troy to-be-present then indeed rejoiced
πάλιν δὲ ἐπαναχθέντος εἰς Ἅιδου ἑαυτὴν ἐφόνευσεν.
again but having-been-taken-back into Hades herself she-killed
Πρωτεσιλάου δὲ τελευτήσαντος, ἐκβαίνει μετὰ Μυρμιδόνων 31
Protesilaus and having-died lands with Myrmidons
Ἀχιλλεὺς καὶ λίθον βαλὼν εἰς τὴν κεφαλὴν Κύκνου
Achilles and a-stone having-thrown at the head of-Cycnus
κτείνει. ὡς δὲ τοῦτον νεκρὸν εἶδον οἱ βάρβαροι, φεύγουσιν
kills when and him dead saw the barbarians they-flee
εἰς τὴν πόλιν, οἱ δὲ Ἕλληνες ἐκπηδήσαντες τῶν νεῶν
into the city the and Greeks having-leapt-out from-the ships
ἐνέπλησαν σωμάτων τὸ πεδίον. καὶ κατακλείσαντες τοὺς
filled with-bodies the plain and having-shut-in the
Τρῶας ἐπολιόρκουν·
Trojans besieged-them
ἀνέλκουσι δὲ τὰς ναῦς. μὴ θαρρούντων δὲ τῶν βαρβάρων, 32
they-draw-up and the ships not taking-courage and the barbarians
Ἀχιλλεὺς ἐνεδρεύσας Τρωίλον ἐν τῷ τοῦ Θυμβραίου
Achilles having-lain-in-wait-for Troilus in the of-the Thymbraean
Ἀπόλλωνος ἱερῷ φονεύει, καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν
Apollo sanctuary slays and by-night having-come to the
πόλιν Λυκάονα λαμβάνει. παραλαβὼν δὲ Ἀχιλλεύς τινας
city Lycaon takes having-taken-with and Achilles some
τῶν ἀριστέων τὴν χώραν ἐπόρθει, καὶ παραγίνεται εἰς Ἴδην
of-the chiefs the land ravaged and comes to Ida

ἐπὶ τὰς Αἰνείου βόας. φυγόντος δὲ αὐτοῦ, τοὺς βουκόλους
for the of-Aeneas cows having-fled and him the cowherds
κτείνας καὶ Μήστορα τὸν Πριάμου τὰς βόας ἐλαύνει.
having-killed and Mestor the son-of-Priam the cows drives-off
33 αἱρεῖ δὲ καὶ Λέσβον καὶ Φώκαιαν, εἶτα Κολοφῶνα καὶ
he-takes and also Lesbos and Phocaea then Colophon and
Σμύρναν καὶ Κλαζομενὰς καὶ Κύμην, μεθ' ἃς Αἰγιαλὸν καὶ
Smyrna and Clazomenae and Cyme after which Aegialus and
Τῆνον· εἶτα ἑξῆς Ἀδραμύτιον καὶ Σίδην, εἶτα Ἔνδιον καὶ
Tenos then next Adramytium and Side then Endium and
Λιναῖον καὶ Κολώνην. αἱρεῖ δὲ καὶ Θήβας τὰς Ὑποπλακίας
Linaeum and Colone he-takes and also Thebes the Hypoplacian
καὶ Λυρνησσόν, ἔτι δὲ καὶ Ἄντανδρον καὶ ἄλλας πολλάς.
and Lyrnessus further and also Antandrus and other many
34 ἐνναετοῦς δὲ χρόνου διελθόντος παραγίνονται τοῖς Τρωσὶ
nine-years and time having-passed come to-the Trojans
σύμμαχοι· ἐκ τῶν περιοίκων πόλεων Αἰνείας Ἀγχίσου καὶ
allies from the neighboring cities Aeneas son-of-Anchises and
σὺν αὐτῷ Ἀρχέλοχος καὶ Ἀκάμας Ἀντήνορος καὶ Θεανοῦς,
with him Archelochus and Acamas sons-of-Antenor and of-Theano
Δαρδανίων ἡγούμενοι, Θρᾳκῶν Ἀκάμας Εὐσώρου, Κικόνων
of-Dardanians leading of-Thracians Acamas son-of-Eusorus of-Cicones
Εὔφημος Τροιζήνου, Παιόνων Πυραίχμης, Παφλαγόνων
Euphemus son-of-Troezenus of-Paeonians Pyraechmes of-Paphlagonians
Πυλαιμένης Βιλσάτου,
Pylaemenes son-of-Bilsates
35 ἐκ Ζελίας Πάνδαρος Λυκάονος, ἐξ Ἀδραστείας Ἄδραστος
from Zelia Pandarus son-of-Lycaon from Adrastia Adrastus
καὶ Ἄμφιος Μέροπος, ἐκ δ' Ἀρίσβης Ἄσιος Ὑρτάκου,
and Amphius sons-of-Merops from and Arisbe Asius son-of-Hyrtacus
ἐκ Λαρίσσης Ἱππόθοος Πελασγοῦ, ἐκ Μυσίας Χρόμιος
from Larissa Hippothous son-of-Pelasgus from Mysia Chromius

καὶ Ἔννομος Ἀρσινόου, Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος
and Ennomus sons-of-Arsinous of-Halizones Odius and Epistrophus
Μηκιστέως, Φρυγῶν Φόρκυς καὶ Ἀσκάνιος Ἀρετάονος,
sons-of-Mecisteus of-Phrygians Phorcys and Ascanius sons-of-Aretaon
Μαιόνων Μέσθλης καὶ Ἄντιφος Ταλαιμένους, Καρῶν
of-Maeonians Mesthles and Antiphus sons-of-Talaemenes of-Carians
Νάστης καὶ Ἀμφίμαχος Νομίονος, Λυκίων Σαρπηδὼν
Nastes and Amphimachus sons-of-Nomion of-Lycians Sarpedon
Διὸς καὶ Γλαῦκος Ἱππολόχου.
son-of-Zeus and Glaucus son-of-Hippolochus

IV · THE ILIAD

In the tenth year Achilles, angry over Briseis, keeps from the war, and the Trojans come out. Alexander fights Menelaus in single combat and is snatched away by Aphrodite, and Pandarus breaks the truce with an arrow. Diomedes wounds Aphrodite and exchanges arms with Glaucus; Hector challenges the best of the Greeks and fights Ajax until night parts them. The Greeks build a wall, are driven back to it, and send an embassy to Achilles in vain. Odysseus and Diomedes kill Dolon and Rhesus by night. Agamemnon and others are wounded, Hector breaks through the wall and fires the ships, and Achilles sends Patroclus out in his armor, who kills Sarpedon and is killed by Hector. Achilles, reconciled, fights in new armor from Hephaestus, battles the river, kills Hector and drags him behind his chariot, holds games for Patroclus, and gives the body back to Priam for ransom.

Ἀχιλλεὺς δὲ μηνίων ἐπὶ τὸν πόλεμον οὐκ ἐξῄει διὰ 1
Achilles and being-angry to the war not went-out because-of
Βρισηίδα *** τῆς θυγατρὸς Χρύσου τοῦ ἱερέως. διὸ
Briseis (lacuna) of-the daughter of-Chryses the priest wherefore
θαρσήσαντες οἱ βάρβαροι ἐκ τῆς πόλεως προῆλθον. καὶ
having-taken-courage the barbarians from the city came-forth and
μονομαχεῖ Ἀλέξανδρος πρὸς Μενέλαον, Ἀλέξανδρον
fights-in-single-combat Alexander with Menelaus Alexander

δὲ ἡττώμενον ἁρπάζει Ἀφροδίτη. Πάνδαρος δὲ τοξεύσας
and being-worsted snatches-away Aphrodite Pandarus and having-shot
Μενέλαον τοὺς ὅρκους ἔλυσεν.
Menelaus the oaths broke

2 ὅτι Διομήδης ἀριστεύων Ἀφροδίτην Αἰνείᾳ βοηθοῦσαν
that Diomedes excelling Aphrodite Aeneas helping
τιτρώσκει, καὶ Γλαύκῳ συστάς, ὑπομνησθεὶς πατρῴας
wounds and with-Glaucus having-met having-been-reminded of-paternal
φιλίας, ἀλλάσσει τὰ ὅπλα. προκαλουμένου δὲ Ἕκτορος
friendship exchanges the arms challenging and Hector
τὸν ἄριστον εἰς μονομαχίαν, πολλῶν ἐλθόντων Αἴας
the best to single-combat many having-come Ajax
κληρωσάμενος ἀριστεύει· νυκτὸς δὲ ἐπιγενομένης κήρυκες
having-won-the-lot excels night and having-come-on heralds
διαλύουσιν αὐτούς.
part them

3 οἱ δὲ Ἕλληνες πρὸς τοῦ ναυστάθμου τεῖχος ποιοῦνται
the and Greeks before the roadstead a-wall make
καὶ τάφρον, καὶ γενομένης μάχης ἐν τῷ πεδίῳ οἱ
and a-trench and having-taken-place a-battle in the plain the
Τρῶες τοὺς Ἕλληνας εἰς τὸ τεῖχος διώκουσιν· οἱ δὲ
Trojans the Greeks into the wall chase they and
πέμπουσι πρὸς Ἀχιλλέα πρέσβεις Ὀδυσσέα καὶ Φοίνικα
send to Achilles envoys Odysseus and Phoenix
καὶ Αἴαντα, συμμαχεῖν ἀξιοῦντες καὶ Βρισηίδα καὶ ἄλλα
and Ajax to-fight-as-ally asking and Briseis and other
δῶρα ὑπισχνούμενοι.
gifts promising

4 νυκτὸς δὲ ἐπιγενομένης κατασκόπους πέμπουσιν Ὀδυσσέα καὶ
night and having-come-on as-spies they-send Odysseus and
Διομήδην· οἱ δὲ ἀναιροῦσι Δόλωνα τὸν Εὐμήλου καὶ Ῥῆσον
Diomedes they and kill Dolon the son-of-Eumelus and Rhesus

τὸν Θρᾷκα (ὃς πρὸ μιᾶς ἡμέρας παραγενόμενος Τρωσὶ
the Thracian who before one day having-come to-Trojans
σύμμαχος οὐ συμβαλὼν ἀπωτέρω τῆς Τρωικῆς δυνάμεως
as-ally not having-engaged further-off from-the Trojan force
χωρὶς Ἕκτορος ἐστρατοπέδευσε) τούς τε περὶ αὐτὸν δώδεκα
apart from-Hector encamped the-ones both about him twelve
κοιμωμένους κτείνουσι καὶ τοὺς ἵππους ἐπὶ τὰς ναῦς ἄγουσι.
sleeping they-kill and the horses to the ships lead
μεθ' ἡμέραν δὲ ἰσχυρᾶς μάχης γενομένης, τρωθέντων 5
by day and a-fierce battle having-taken-place having-been-wounded
Ἀγαμέμνονος καὶ Διομήδους Ὀδυσσέως Εὐρυπύλου
Agamemnon and Diomedes Odysseus Eurypylus
Μαχάονος καὶ τροπῆς τῶν Ἑλλήνων γενομένης, Ἕκτωρ
Machaon and a-rout of-the Greeks having-taken-place Hector
ῥήξας τὸ τεῖχος εἰσέρχεται καὶ ἀναχωρήσαντος Αἴαντος
having-broken the wall enters and having-withdrawn Ajax
πῦρ ἐμβάλλει ταῖς ναυσίν.
fire throws-on the ships
ὡς δὲ εἶδεν Ἀχιλλεὺς τὴν Πρωτεσιλάου ναῦν καιομένην, 6
when and saw Achilles the of-Protesilaus ship burning
ἐκπέμπει Πάτροκλον καθοπλίσας τοῖς ἰδίοις ὅπλοις μετὰ
he-sends-out Patroclus having-armed in-the own arms with
τῶν Μυρμιδόνων, δοὺς αὐτῷ τοὺς ἵππους. ἰδόντες δὲ
the Myrmidons having-given to-him the horses having-seen and
αὐτὸν οἱ Τρῶες καὶ νομίσαντες Ἀχιλλέα εἶναι εἰς φυγὴν
him the Trojans and having-thought Achilles to-be to flight
τρέπονται. καταδιώξας δὲ αὐτοὺς εἰς τὸ τεῖχος πολλοὺς
turn having-chased and them to the wall many
ἀναιρεῖ, ἐν οἷς καὶ Σαρπηδόνα τὸν Διός, καὶ ὑφ'
he-kills among whom also Sarpedon the son-of-Zeus and by
Ἕκτορος ἀναιρεῖται, τρωθεὶς πρότερον ὑπὸ Εὐφόρβου.
Hector is-killed having-been-wounded first by Euphorbus

7 μάχης δὲ ἰσχυρᾶς γενομένης περὶ τοῦ νεκροῦ, μόλις
battle and fierce having-taken-place over the corpse hardly
Αἴας ἀριστεύσας σώζει τὸ σῶμα. Ἀχιλλεὺς δὲ τὴν ὀργὴν
Ajax having-excelled saves the body Achilles and the anger
ἀποθέμενος καὶ τὴν Βρισηίδα κομίζεται. καὶ πανοπλίας
having-laid-aside also — Briseis recovers and a-panoply
αὐτῷ κομισθείσης παρὰ Ἡφαίστου, καθοπλισάμενος ἐπὶ
to-him having-been-brought from Hephaestus having-armed to
τὸν πόλεμον ἐξέρχεται, καὶ συνδιώκει τοὺς Τρῶας ἐπὶ τὸν
the war goes-out and chases the Trojans to —
Σκάμανδρον, κἀκεῖ πολλοὺς μὲν ἄλλους ἀναιρεῖ, κτείνει
Scamander and-there many indeed others kills kills
δὲ καὶ Ἀστεροπαῖον τὸν Πηλεγόνος τοῦ Ἀξιοῦ ποταμοῦ·
and also Asteropaeus the son-of-Pelegon the son-of-Axius river
καὶ αὐτῷ λάβρος ὁ ποταμὸς ἐφορμᾷ. καὶ τούτου μὲν ὁ
and him furious the river rushes-at and its indeed —
Ἥφαιστος τὰ ῥεῖθρα ἀναξηραίνει πολλῇ φλογὶ διώξας, ὁ δ'
Hephaestus the streams dries-up with-much flame having-chased he and
Ἀχιλλεὺς Ἕκτορα ἐκ μονομαχίας ἀναιρεῖ καὶ ἐξάψας αὐτοῦ
Achilles Hector in single-combat kills and having-fastened his
τὰ σφυρὰ ἐκ τοῦ ἅρματος σύρων ἐπὶ τὰς ναῦς παραγίνεται.
the ankles from the chariot dragging to the ships comes
καὶ θάψας Πάτροκλον ἐπ' αὐτῷ ἀγῶνα τίθησιν, ἐν ᾧ
and having-buried Patroclus over him games holds in which
νικᾷ ἵπποις Διομήδης, Ἐπειὸς πυγμῇ, Αἴας καὶ Ὀδυσσεὺς
wins with-horses Diomedes Epeus in-boxing Ajax and Odysseus
πάλῃ. μετὰ δὲ τὸν ἀγῶνα παραγενόμενος Πρίαμος πρὸς
in-wrestling after and the games having-come Priam to
Ἀχιλλέα λυτροῦται τὸ Ἕκτορος σῶμα καὶ θάπτει.
Achilles ransoms the of-Hector body and buries

Achilles kills the Amazon Penthesilea, falls in love with her dead, and kills Thersites for mocking him; he kills Memnon and is himself shot in the ankle by Alexander and Apollo. Ajax carries his body from the battle while Odysseus fights off the Trojans, and the Greeks bury him with Patroclus and hold games. When the arms are awarded to Odysseus, Ajax goes mad, slaughters the cattle, and kills himself. Calchas and the captured Helenus tell what Troy's fall requires: Heracles' bow, brought from Lemnos with Philoctetes, who shoots Alexander; the bones of Pelops; Neoptolemus; and the Palladium, which Odysseus steals. Epeus builds the wooden horse, the chiefs hide in it, and the Greeks sail to Tenedos; the Trojans drag it into the city, and serpents devour Laocoon's sons. At night Sinon lights the beacon, the Greeks pour in and sack Troy, Neoptolemus kills Priam at the altar, Locrian Ajax violates Cassandra as she clings to Athena's image, and the captives are shared out.

ὅτι Πενθεσίλεια, Ὀτρηρῆς καὶ Ἄρεος, ἀκουσίως 1
that Penthesilea daughter-of-Otrere and of-Ares unwillingly
Ἱππολύτην κτείνασα καὶ ὑπὸ Πριάμου καθαρθεῖσα, μάχης
Hippolyte having-killed and by Priam purified a-battle
γενομένης πολλοὺς κτείνει, ἐν οἷς καὶ Μαχάονα·
having-taken-place many kills among whom also Machaon
εἶθ' ὕστερον θνήσκει ὑπὸ Ἀχιλλέως, ὅστις μετὰ θάνατον
then later dies by Achilles who after death
ἐρασθεὶς τῆς Ἀμαζόνος κτείνει Θερσίτην λοιδοροῦντα
having-fallen-in-love with-the Amazon kills Thersites reviling
αὐτόν.
him

ἦν δὲ Ἱππολύτη ἡ τοῦ Ἱππολύτου μήτηρ, ἡ καὶ 2
was and Hippolyte the — of-Hippolytus mother the-one also
Γλαύκη καὶ Μελανίππη. αὕτη γάρ, ἐπιτελουμένων τῶν
Glauce and Melanippe she for being-celebrated the
γάμων Φαίδρας, ἐπιστᾶσα σὺν ὅπλοις ἅμα ταῖς
marriage of-Phaedra having-appeared with arms together-with the

μεθ' ἑαυτῆς Ἀμαζόσιν ἔλεγε κτείνειν τοὺς συνανακειμένους
with herself Amazons said to-kill the-ones reclining-with
Θησεῖ. μάχης οὖν γενομένης ἀπέθανεν, εἴτε ὑπὸ τῆς
Theseus battle then having-taken-place she-died whether by the
συμμάχου Πενθεσιλείας ἀκούσης, εἴτε ὑπὸ Θησέως, εἴτε
ally Penthesilea unwilling or by Theseus or
ὅτι οἱ περὶ Θησέα, τὴν τῶν Ἀμαζόνων ἑωρακότες
because the-ones about Theseus the of-the Amazons having-seen
ἐπιστασίαν, κλείσαντες διὰ τάχους τὰς θύρας καὶ ταύτην
appearance having-shut with speed the doors and her
ἀπολαβόντες ἐντὸς ἀπέκτειναν.
having-caught inside killed

3 ὅτι Μέμνονα τὸν Τιθωνοῦ καὶ Ἠοῦς μετὰ πολλῆς
that Memnon the son-of-Tithonus and of-Dawn with great
Αἰθιόπων δυνάμεως παραγενόμενον ἐν Τροίᾳ καθ' Ἑλλήνων
of-Ethiopians force having-come to Troy against Greeks
καὶ πολλοὺς τῶν Ἑλλήνων κτείναντα καὶ Ἀντίλοχον
and many of-the Greeks having-killed also Antilochus
κτείνει ὁ Ἀχιλλεύς. διώξας δὲ καὶ τοὺς Τρῶας πρὸς
kills — Achilles having-chased and also the Trojans at
ταῖς Σκαιαῖς πύλαις τοξεύεται ὑπὸ Ἀλεξάνδρου καὶ
the Scaean gates is-shot by Alexander and
Ἀπόλλωνος εἰς τὸ σφυρόν.
Apollo in the ankle

4 γενομένης δὲ μάχης περὶ τοῦ νεκροῦ, Αἴας Γλαῦκον
having-taken-place and a-battle over the corpse Ajax Glaucus
ἀναιρεῖ, καὶ τὰ ὅπλα δίδωσιν ἐπὶ τὰς ναῦς κομίζειν, τὸ δὲ
kills and the arms gives to the ships to-carry the and
σῶμα βαστάσας Αἴας βαλλόμενος βέλεσι μέσον τῶν
body having-lifted Ajax being-pelted with-missiles through-the-midst of-the

πολεμίων διήνεγκεν, Ὀδυσσέως πρὸς τοὺς ἐπιφερομένους
enemies carried Odysseus against the-ones attacking
μαχομένου.
fighting
Ἀχιλλέως δὲ ἀποθανόντος συμφορᾶς ἐπληρώθη τὸ 5
Achilles and having-died with-sorrow was-filled the
στράτευμα. θάπτουσι δὲ αὐτὸν μετὰ Πατρόκλου, τὰ
army they-bury and him with Patroclus the
ἑκατέρων ὀστᾶ συμμίξαντες. λέγεται δὲ μετὰ θάνατον
of-each-of-the-two bones having-mingled it-is-said and after death
Ἀχιλλεὺς ἐν Μακάρων νήσοις Μηδείᾳ συνοικεῖν. τιθέασι
Achilles in of-Blessed Isles with-Medea to-live-together they-hold
δὲ ἐπ᾽ αὐτῷ ἀγῶνα, ἐν ᾧ νικᾷ Εὔμηλος ἵπποις,
and in his-honor games in which wins Eumelus with-horses
Διομήδης σταδίῳ, Αἴας δίσκῳ, Τεῦκρος τόξῳ.
Diomedes in-the-footrace Ajax with-the-discus Teucer with-the-bow
ἡ δὲ πανοπλία αὐτοῦ τῷ ἀρίστῳ νικητήριον τίθεται, καὶ 6
the and panoply his for-the best as-prize is-set and
καταβαίνουσιν εἰς ἅμιλλαν Αἴας καὶ Ὀδυσσεύς. καὶ κρινάντων
come-down into contest Ajax and Odysseus and having-judged
τῶν Τρώων, ὡς δέ τινες τῶν συμμάχων, Ὀδυσσεὺς
the Trojans as but some of-the allies Odysseus
προκρίνεται. Αἴας δὲ ὑπὸ λύπης ταραχθεὶς ἐπιβουλεύεται
is-preferred Ajax and by grief disordered plots
νύκτωρ τῷ στρατεύματι, καὶ αὐτῷ μανίαν ἐμβαλοῦσα
by-night against-the army and on-him madness having-thrown
Ἀθηνᾶ εἰς τὰ βοσκήματα ἐκτρέπει ξιφήρη· ὁ δὲ ἐκμανεὶς
Athena to the cattle turns sword-in-hand he and having-gone-mad
σὺν τοῖς νέμουσι τὰ βοσκήματα ὡς Ἀχαιοὺς φονεύει.
with the-ones herding the cattle as Achaeans slays

7 ὕστερον δὲ σωφρονήσας κτείνει καὶ ἑαυτόν. Ἀγαμέμνων
later and having-come-to-his-senses kills also himself Agamemnon
δὲ κωλύει τὸ σῶμα αὐτοῦ καῆναι, καὶ μόνος οὗτος
and prevents the body his to-be-burned and alone he
τῶν ἐν Ἰλίῳ ἀποθανόντων ἐν σορῷ κεῖται· ὁ δὲ
of-the-ones at Ilium having-died in a-coffin lies the and
τάφος ἐστὶν ἐν Ῥοιτείῳ.
tomb is at Rhoeteum

8 ἤδη δὲ ὄντος τοῦ πολέμου δεκαετοῦς ἀθυμοῦσι
already and being the war ten-years-old being-despondent
τοῖς Ἕλλησι Κάλχας θεσπίζει, οὐκ ἄλλως ἁλῶναι
to-the Greeks Calchas prophesies not otherwise to-be-taken
δύνασθαι Τροίαν, ἂν μὴ τὰ Ἡρακλέους ἔχωσι τόξα
to-be-able Troy — unless the of-Heracles they-have bow
συμμαχοῦντα. τοῦτο ἀκούσας Ὀδυσσεὺς μετὰ Διομήδους εἰς
fighting-as-ally this having-heard Odysseus with Diomedes to
Λῆμνον ἀφικνεῖται πρὸς Φιλοκτήτην, καὶ δόλῳ ἐγκρατὴς
Lemnos comes to Philoctetes and by-guile master
γενόμενος τῶν τόξων πείθει πλεῖν αὐτὸν ἐπὶ Τροίαν.
having-become of-the bow persuades to-sail him to Troy
ὁ δὲ παραγενόμενος καὶ θεραπευθεὶς ὑπὸ Ποδαλειρίου
he and having-come and healed by Podalirius
Ἀλέξανδρον τοξεύει.
Alexander shoots

9 τούτου δὲ ἀποθανόντος εἰς ἔριν ἔρχονται Ἕλενος καὶ
he and having-died into strife come Helenus and
Δηίφοβος ὑπὲρ τῶν Ἑλένης γάμων· προκριθέντος δὲ
Deiphobus over the of-Helen marriage having-been-preferred and
τοῦ Δηιφόβου Ἕλενος ἀπολιπὼν Τροίαν ἐν Ἴδῃ διετέλει.
— Deiphobus Helenus having-left Troy in Ida remained
εἰπόντος δὲ Κάλχαντος Ἕλενον εἰδέναι τοὺς ῥυομένους
having-said and Calchas Helenus to-know the protecting

τὴν πόλιν χρησμούς, ἐνεδρεύσας αὐτὸν Ὀδυσσεὺς καὶ
the city oracles having-ambushed him Odysseus and
χειρωσάμενος ἐπὶ τὸ στρατόπεδον ἤγαγε·
having-captured to the camp brought
καὶ ἀναγκαζόμενος ὁ Ἕλενος λέγει πῶς ἂν αἱρεθείη 10
and being-compelled — Helenus tells how — might-be-taken
ἡ Ἴλιος, πρῶτον μὲν εἰ τὰ Πέλοπος ὀστᾶ κομισθείη
— Ilium first indeed if the of-Pelops bones should-be-brought
παρ' αὐτούς, ἔπειτα εἰ Νεοπτόλεμος συμμαχοίη, τρίτον
to them next if Neoptolemus should-fight-as-ally third
εἰ τὸ διιπετὲς παλλάδιον ἐκκλαπείη· τούτου γὰρ ἔνδον
if the fallen-from-heaven Palladium should-be-stolen this for inside
ὄντος οὐ δύνασθαι τὴν πόλιν ἁλῶναι.
being not to-be-able the city to-be-taken
ταῦτα ἀκούσαντες Ἕλληνες τὰ μὲν Πέλοπος ὀστᾶ 11
these-things having-heard Greeks the indeed of-Pelops bones
μετακομίζουσιν, Ὀδυσσέα δὲ καὶ Φοίνικα πρὸς Λυκομήδην
fetch Odysseus and and Phoenix to Lycomedes
πέμπουσιν εἰς Σκῦρον, οἱ δὲ πείθουσι αὐτὸν Νεοπτόλεμον
send to Scyros they and persuade him Neoptolemus
προέσθαι. παραγενόμενος δὲ οὗτος εἰς τὸ στρατόπεδον
to-let-go having-come and he to the camp
καὶ λαβὼν παρ' ἑκόντος Ὀδυσσέως τὴν τοῦ πατρὸς
and having-received from willing Odysseus the of-the father
πανοπλίαν πολλοὺς τῶν Τρώων ἀναιρεῖ.
panoply many of-the Trojans kills
ἀφικνεῖται δὲ ὕστερον Τρωσὶ σύμμαχος Εὐρύπυλος 12
arrives and later to-Trojans as-ally Eurypylus
ὁ Τηλέφου πολλὴν Μυσῶν δύναμιν ἄγων· τοῦτον
the son-of-Telephus large of-Mysians force leading him
ἀριστεύσαντα Νεοπτόλεμος ἀπέκτεινεν.
having-excelled Neoptolemus killed

13 Ὀδυσσεὺς δὲ μετὰ Διομήδους παραγενόμενος νύκτωρ εἰς
Odysseus and with Diomedes having-come by-night to
τὴν πόλιν Διομήδην μὲν αὐτοῦ μένειν εἴα, αὐτὸς δὲ ἑαυτὸν
the city Diomedes indeed there to-wait let he-himself and himself
αἰκισάμενος καὶ πενιχρὰν στολὴν ἐνδυσάμενος ἀγνώστως
having-disfigured and mean garb having-put-on unrecognized
εἰς τὴν πόλιν εἰσέρχεται ὡς ἐπαίτης· γνωρισθεὶς
into the city enters as a-beggar having-been-recognized
δὲ ὑπὸ Ἑλένης δι᾽ ἐκείνης τὸ παλλάδιον ἔκλεψε καὶ
and by Helen through her the Palladium he-stole and
πολλοὺς κτείνας τῶν φυλασσόντων ἐπὶ τὰς ναῦς μετὰ
many having-killed of-the-ones guarding to the ships with
Διομήδους κομίζει.
Diomedes brings-it

14 ὕστερον δὲ ἐπινοεῖ δουρείου ἵππου κατασκευὴν καὶ
later and he-devises of-a-wooden horse construction and
ὑποτίθεται Ἐπειῷ, ὃς ἦν ἀρχιτέκτων· οὗτος ἀπὸ τῆς Ἴδης
suggests to-Epeus who was architect he from — Ida
ξύλα τεμὼν ἵππον κατασκευάζει κοῖλον ἔνδοθεν εἰς τὰς
timber having-cut a-horse constructs hollow inside at the
πλευρὰς ἀνεῳγμένον. εἰς τοῦτον Ὀδυσσεὺς εἰσελθεῖν πείθει
sides opened into this Odysseus to-enter persuades
πεντήκοντα τοὺς ἀρίστους, ὡς δὲ ὁ τὴν μικρὰν γράψας
fifty the best as but the-one the Little having-written
Ἰλιάδα φησί, τρισχιλίους, τοὺς δὲ λοιποὺς γενομένης
Iliad says three-thousand the and rest having-come
νυκτὸς ἐμπρήσαντας τὰς σκηνάς, ἀναχθέντας περὶ τὴν
night having-burnt the tents having-put-to-sea off —
Τένεδον ναυλοχεῖν καὶ μετὰ τὴν ἐπιοῦσαν νύκτα καταπλεῖν.
Tenedos to-lie-at-anchor and after the following night to-sail-back

οἱ δὲ πείθονται καὶ τοὺς μὲν ἀρίστους ἐμβιβάζουσιν 15
they and are-persuaded and the indeed best embark
εἰς τὸν ἵππον, ἡγεμόνα καταστήσαντες αὐτῶν Ὀδυσσέα,
into the horse as-leader having-appointed of-them Odysseus
γράμματα ἐγχαράξαντες τὰ δηλοῦντα· τῆς εἰς οἶκον
letters having-engraved the-ones declaring for-the to home
ἀνακομιδῆς Ἕλληνες Ἀθηνᾷ χαριστήριον. αὐτοὶ δὲ
return Greeks to-Athena a-thank-offering they-themselves and
ἐμπρήσαντες τὰς σκηνὰς καὶ καταλιπόντες Σίνωνα, ὃς
having-burnt the tents and having-left Sinon who
ἔμελλεν αὐτοῖς πυρσὸν ἀνάπτειν, τῆς νυκτὸς ἀνάγονται
was-to for-them a-beacon to-light by-the night put-to-sea
καὶ περὶ Τένεδον ναυλοχοῦσιν.
and off Tenedos lie-at-anchor
ἡμέρας δὲ γενομένης ἔρημον οἱ Τρῶες τὸ τῶν Ἑλλήνων 16
day and having-come deserted the Trojans the of-the Greeks
στρατόπεδον θεασάμενοι καὶ νομίσαντες αὐτοὺς πεφευγέναι,
camp having-beheld and having-thought them to-have-fled
περιχαρέντες εἷλκον τὸν ἵππον καὶ παρὰ τοῖς Πριάμου
overjoyed dragged the horse and beside the of-Priam
βασιλείοις στήσαντες ἐβουλεύοντο τί χρὴ ποιεῖν.
palace having-set-it-up deliberated what it-is-necessary to-do
Κασάνδρας δὲ λεγούσης ἔνοπλον ἐν αὐτῷ δύναμιν εἶναι, 17
Cassandra and saying armed in it a-force to-be
καὶ προσέτι Λαοκόωντος τοῦ μάντεως, τοῖς μὲν ἐδόκει
and besides Laocoon the seer to-some indeed it-seemed-good
κατακαίειν, τοῖς δὲ κατὰ βαράθρων ἀφιέναι· δόξαν
to-burn to-others and down precipices to-throw it-seeming-good
δὲ τοῖς πολλοῖς ἵνα αὐτὸν ἐάσωσι θεῖον ἀνάθημα,
and to-the many that it they-should-let-be a-divine offering
τραπέντες ἐπὶ θυσίαν εὐωχοῦντο.
having-turned to sacrifice they-feasted

18 Ἀπόλλων δὲ αὐτοῖς σημεῖον ἐπιπέμπει· δύο γὰρ δράκοντες
Apollo and to-them a-sign sends two for serpents
διανηξάμενοι διὰ τῆς θαλάσσης ἐκ τῶν πλησίον νήσων
having-swum-across through the sea from the near islands
τοὺς Λαοκόωντος υἱοὺς κατεσθίουσιν.
the of-Laocoon sons devour

19 ὡς δὲ ἐγένετο νὺξ καὶ πάντας ὕπνος κατεῖχεν, οἱ
when and came night and all sleep held the-ones
ἀπὸ Τενέδου προσέπλεον, καὶ Σίνων αὐτοῖς ἀπὸ τοῦ
from Tenedos sailed-toward and Sinon to-them from —
Ἀχιλλέως τάφου πυρσὸν ἦπτεν. Ἑλένη δὲ ἐλθοῦσα περὶ
of-Achilles tomb a-beacon lit Helen and having-come about
τὸν ἵππον, μιμουμένη τὰς φωνὰς ἑκάστης τῶν γυναικῶν,
the horse imitating the voices of-each of-the wives
τοὺς ἀριστέας ἐκάλει. ὑπακοῦσαι δὲ Ἀντίκλου θέλοντος
the chiefs called to-answer and Anticlus wishing
Ὀδυσσεὺς τὸ στόμα κατέσχεν.
Odysseus the mouth held

20 ὡς δ' ἐνόμισαν κοιμᾶσθαι τοὺς πολεμίους, ἀνοίξαντες σὺν
when and they-thought to-sleep the enemies having-opened with
τοῖς ὅπλοις ἐξῆεσαν· καὶ πρῶτος μὲν Ἐχίων Πορθέως
the arms they-went-out and first indeed Echion son-of-Portheus
ἀφαλλόμενος ἀπέθανεν, οἱ δὲ λοιποὶ σειρᾷ ἐξάψαντες
leaping-down died the and rest by-a-rope having-fastened
ἑαυτοὺς ἐπὶ τὰ τείχη παρεγένοντο καὶ τὰς πύλας
themselves to the walls came and the gates
ἀνοίξαντες ὑπεδέξαντο τοὺς ἀπὸ Τενέδου καταπλεύσαντας.
having-opened received the-ones from Tenedos having-sailed-in

21 χωρήσαντες δὲ μεθ' ὅπλων εἰς τὴν πόλιν, εἰς τὰς οἰκίας
having-advanced and with arms into the city into the houses
ἐπερχόμενοι κοιμωμένους ἀνῄρουν. καὶ Νεοπτόλεμος μὲν
entering sleeping they-killed and Neoptolemus indeed

ἐπὶ τοῦ ἑρκείου Διὸς βωμοῦ καταφεύγοντα Πρίαμον
at the of-the-courtyard of-Zeus altar taking-refuge Priam
ἀνεῖλεν· Ὀδυσσεὺς δὲ καὶ Μενέλαος Γλαῦκον τὸν Ἀντήνορος
killed Odysseus and and Menelaus Glaucus the son-of-Antenor
εἰς τὴν οἰκίαν φεύγοντα γνωρίσαντες μεθ' ὅπλων ἐλθόντες
into the house fleeing having-recognized with arms having-come
ἔσωσαν. Αἰνείας δὲ Ἀγχίσην τὸν πατέρα βαστάσας ἔφυγεν,
saved Aeneas and Anchises the father having-lifted fled
οἱ δὲ Ἕλληνες αὐτὸν διὰ τὴν εὐσέβειαν εἴασαν.
the and Greeks him because-of the piety let-go
Μενέλαος δὲ Δηίφοβον κτείνας Ἑλένην ἐπὶ τὰς ναῦς ἄγει· 22
Menelaus and Deiphobus having-killed Helen to the ships leads
ἀπάγουσι δὲ καὶ τὴν Θησέως μητέρα Αἴθραν οἱ Θησέως
lead-away and also the of-Theseus mother Aethra the of-Theseus
παῖδες Δημοφῶν καὶ Ἀκάμας· καὶ γὰρ τούτους λέγουσιν εἰς
sons Demophon and Acamas also for these they-say to
Τροίαν ἐλθεῖν ὕστερον. Αἴας δὲ ὁ Λοκρὸς Κασάνδραν
Troy to-have-come later Ajax and the Locrian Cassandra
ὁρῶν περιπεπλεγμένην τῷ ξοάνῳ τῆς Ἀθηνᾶς βιάζεται·
seeing clinging to-the wooden-image — of-Athena violates
διὰ τοῦτο τὸ ξόανον εἰς οὐρανὸν βλέπειν.
because-of this the image to heaven to-look
κτείναντες δὲ τοὺς Τρῶας τὴν πόλιν ἐνέπρησαν καὶ 23
having-killed and the Trojans the city they-burned and
τὰ λάφυρα ἐμερίσαντο. καὶ θύσαντες πᾶσι τοῖς θεοῖς
the spoils divided and having-sacrificed to-all the gods
Ἀστυάνακτα ἀπὸ τῶν πύργων ἔρριψαν, Πολυξένην δὲ
Astyanax from the towers they-threw Polyxena and
ἐπὶ τῷ Ἀχιλλέως τάφῳ κατέσφαξαν. λαμβάνει δὲ
on — of-Achilles tomb they-slaughtered takes and
Ἀγαμέμνων μὲν κατ' ἐξαίρετον Κασάνδραν, Νεοπτόλεμος
Agamemnon indeed as special-prize Cassandra Neoptolemus

δὲ Ἀνδρομάχην, Ὀδυσσεὺς δὲ Ἑκάβην. ὡς δὲ ἔνιοι λέγουσιν,
and Andromache Odysseus and Hecuba as but some say
Ἕλενος αὐτὴν λαμβάνει, καὶ διακομισθεὶς εἰς Χερρόνησον
Helenus her takes and having-crossed to Chersonese
σὺν αὐτῇ κύνα γενομένην θάπτει, ἔνθα νῦν λέγεται Κυνὸς
with her a-bitch having-become buries where now is-called Bitch's
σῆμα. Λαοδίκην μὲν γὰρ κάλλει τῶν Πριάμου θυγατέρων
tomb Laodice indeed for in-beauty of-the of-Priam daughters
διαφέρουσαν βλεπόντων πάντων γῆ χάσματι ἀπέκρυψεν.
excelling in-sight-of all earth in-a-chasm hid
ὡς δὲ ἔμελλον ἀποπλεῖν πορθήσαντες Τροίαν, ὑπὸ
when and they-were-about to-sail-away having-sacked Troy by
Κάλχαντος κατείχοντο, μηνίειν Ἀθηνᾶν αὐτοῖς λέγοντος
Calchas they-were-detained to-be-angry Athena with-them saying
διὰ τὴν Αἴαντος ἀσέβειαν. καὶ τὸν μὲν Αἴαντα κτείνειν
because-of the of-Ajax impiety and the indeed Ajax to-kill
ἔμελλον, φεύγοντα δὲ ἐπὶ βωμὸν εἴασαν.
they-were-about fleeing but to altar they-let-be

Agamemnon and Menelaus quarrel over the sailing, and the fleet scatters. Athena's storm wrecks Locrian Ajax, whom Poseidon kills for his boast, and Nauplius, avenging Palamedes, lights false beacons on Caphereus that wreck the rest. Neoptolemus takes Hermione from Orestes and is killed at Delphi. The surviving Greeks settle from Libya to Italy and Cyprus; Demophon leaves Phyllis in Thrace, and she kills herself. Agamemnon is murdered by Aegisthus and Clytemnestra; Orestes avenges him, is acquitted on the Areopagus, brings Artemis' image from the Taurians, and marries Hermione. Menelaus reaches Sparta after eight years' wandering and goes with Helen to the Elysian Fields.

καὶ μετὰ ταῦτα συνελθόντων εἰς ἐκκλησίαν, Ἀγαμέμνων 1
and after these-things having-met in assembly Agamemnon
καὶ Μενέλαος ἐφιλονείκουν, Μενελάου λέγοντος ἀποπλεῖν,
and Menelaus quarreled Menelaus saying to-sail-away
Ἀγαμέμνονος δὲ ἐπιμένειν κελεύοντος καὶ θύειν Ἀθηνᾷ.
Agamemnon and to-stay bidding and to-sacrifice to-Athena
ἀναχθέντες δὲ Διομήδης καὶ Νέστωρ καὶ Μενέλαος ἅμα,
having-put-to-sea and Diomedes and Nestor and Menelaus together
οἱ μὲν εὐπλοοῦσιν, ὁ δὲ Μενέλαος χειμῶνι περιπεσών,
they indeed have-a-fair-voyage — but Menelaus a-storm having-fallen-in-with
τῶν λοιπῶν ἀπολομένων σκαφῶν, πέντε ναυσὶν ἐπ᾽
the rest having-perished craft with-five ships to
Αἴγυπτον ἀφικνεῖται.
Egypt arrives
Ἀμφίλοχος δὲ καὶ Κάλχας καὶ Λεοντεὺς καὶ Ποδαλείριος 2
Amphilochus and and Calchas and Leonteus and Podalirius
καὶ Πολυποίτης ἐν Ἰλίῳ τὰς ναῦς ἀπολιπόντες ἐπὶ
and Polypoetes at Ilium the ships having-left to
Κολοφῶνα πεζῇ πορεύονται, κἀκεῖ θάπτουσι Κάλχαντα
Colophon on-foot journey and-there they-bury Calchas

τὸν μάντιν· ἦν γὰρ αὐτῷ λόγιον τελευτήσειν, ἐὰν ἑαυτοῦ
the seer was for to-him an-oracle to-be-going-to-die if than-himself
σοφωτέρῳ περιτύχῃ μάντει.
wiser he-should-meet seer

3 ὑποδεχθέντων οὖν ὑπὸ Μόψου μάντεως, ὃς Ἀπόλλωνος
having-been-received then by Mopsus seer who of-Apollo
καὶ Μαντοῦς παῖς ὑπῆρχεν, οὗτος ὁ Μόψος περὶ μαντικῆς
and of-Manto son was this — Mopsus about prophecy
ἤρισε Κάλχαντι. καὶ Κάλχαντος ἀνακρίναντος ἐρινεοῦ
contended with-Calchas and Calchas having-asked a-wild-fig-tree
ἑστώσης "πόσους ὀλύνθους φέρει;" ὁ Μόψος· "μυρίους"
standing how-many figs it-bears — Mopsus ten-thousand
ἔφη "καὶ μέδιμνον καὶ ἕνα ὄλυνθον περισσόν·"
said and a-bushel and one fig over

4 καὶ εὑρέθησαν οὕτω. Μόψος δὲ συὸς οὔσης ἐπιτόκου
and they-were-found so Mopsus and a-sow being about-to-farrow
ἠρώτα Κάλχαντα, πόσους χοίρους κατὰ γαστρὸς ἔχει καὶ
asked Calchas how-many pigs in womb she-has and
πότε τέκοι· τοῦ δὲ εἰπόντος· "ὀκτώ," μειδιάσας ὁ
when she-would-farrow he and having-said eight having-smiled —
Μόψος ἔφη· "Κάλχας τῆς ἀκριβοῦς μαντείας ἀπεναντιῶς
Mopsus said Calchas from-the exact prophecy oppositely
διακεῖται, ἐγὼ δ' Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπάρχων
is-disposed I but of-Apollo and of-Manto son being
τῆς ἀκριβοῦς μαντείας τὴν ὀξυδορκίαν πάντως πλουτῶ,
of-the exact prophecy the sharp-sight altogether am-rich-in
καὶ οὐχ ὡς ὁ Κάλχας ὀκτώ, ἀλλ' ἐννέα κατὰ γαστρός,
and not as — Calchas eight but nine in womb
καὶ τούτους ἄρρενας ὅλους ἔχειν μαντεύομαι, καὶ αὔριον
and these males all to-have I-prophesy and tomorrow

ἀνυπερθέτως ἐν ἕκτῃ ὥρᾳ τεχθήσεσθαι.” ὧν γενομένων
without-delay at sixth hour to-be-going-to-be-born which having-happened
Κάλχας ἀθυμήσας ἀπέθανε καὶ ἐτάφη ἐν Νοτίῳ.
Calchas having-lost-heart died and was-buried at Notium
Ἀγαμέμνων δὲ θύσας ἀνάγεται καὶ Τενέδῳ προσίσχει, 5
Agamemnon and having-sacrificed puts-to-sea and at-Tenedos touches
Νεοπτόλεμον δὲ πείθει Θέτις ἀφικομένη ἐπιμεῖναι δύο
Neoptolemus and persuades Thetis having-arrived to-stay two
ἡμέρας καὶ θυσιάσαι, καὶ ἐπιμένει. οἱ δὲ ἀνάγονται καὶ
days and to-sacrifice and he-stays they and put-to-sea and
περὶ Τῆνον χειμάζονται. Ἀθηνᾶ γὰρ ἐδεήθη Διὸς τοῖς
off Tenos are-storm-tossed Athena for begged Zeus on-the
